GREEK SERIES · VOLUME 37

The Iliad

Homer

ΙΛΙΑΣ

The Iliad

Part Two: Books IX–XVI

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 37 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Monro and Allen's text of the Iliad, third edition, 1920

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

BOOK IX

IX.1 · Agamemnon Despairs 9
IX.2 · The Offer of Gifts 15
IX.3 · The Embassy Arrives 22
IX.4 · Odysseus' Appeal 25
IX.5 · Achilles Refuses 31
IX.6 · No Gift Is Worth a Life 36
IX.7 · Phoenix's Appeal 40
IX.8 · Meleager 47
IX.9 · The Envoys Return 53

BOOK X

X.1 · The Sleepless King 61
X.2 · Nestor Wakes the Chiefs 67
X.3 · The Council at Night 73
X.4 · Dolon 79
X.5 · The Capture of Dolon 85
X.6 · The Killing of Rhesus 91
X.7 · The Return 98

BOOK XI

XI.1 · The Arming of Agamemnon 105
XI.2 · Agamemnon's Rampage 111

BOOK XI

(continued)

XI.3 · Iphidamas 117
XI.4 · Agamemnon Wounded 123
XI.5 · Diomedes Wounded 129
XI.6 · Odysseus Wounded 137
XI.7 · Ajax Gives Ground 143
XI.8 · Nestor's Hut 148
XI.9 · Nestor's Youth 153
XI.10 · Eurypylus 161

BOOK XII

XII.1 · The Wall 169
XII.2 · Asius at the Gate 175
XII.3 · The Eagle and the Snake 182
XII.4 · Sarpedon and Glaucus 186
XII.5 · The Lycians at the Wall 194
XII.6 · Hector Breaks the Gate 199

BOOK XIII

XIII.1 · Poseidon Comes 205
XIII.2 · The Achaeans Rally 211
XIII.3 · Poseidon and Idomeneus 218
XIII.4 · Idomeneus and Meriones 224
XIII.5 · Othryoneus and Asius 229
XIII.6 · Alcathous 236
XIII.7 · Ascalaphus 242
XIII.8 · Menelaus and Peisander 248
XIII.9 · Polydamas' Advice 255
XIII.10 · Hector and Ajax 261

BOOK XIV

XIV.1 · The Wounded Kings 269
XIV.2 · Hera's Plan 275
XIV.3 · Hera and Sleep 283
XIV.4 · The Deception of Zeus 288
XIV.5 · Hector Struck Down 294
XIV.6 · The Trojans Routed 300

BOOK XV

XV.1 · Zeus Wakes 309
XV.2 · Hera on Olympus 315
XV.3 · Poseidon Yields 321
XV.4 · Apollo Leads the Trojans 327
XV.5 · Over the Wall 333
XV.6 · Teucer's Bowstring 339
XV.7 · Fighting at the Ships 345
XV.8 · Hector at the Ships 351
XV.9 · Ajax Defends the Ships 358

BOOK XVI

XVI.1 · Patroclus' Request 365
XVI.2 · The Ships Burn 372
XVI.3 · The Myrmidons Arm 377
XVI.4 · Patroclus Drives Back the Trojans 383
XVI.5 · Sarpedon Faces Patroclus 391
XVI.6 · The Death of Sarpedon 397
XVI.7 · The Fight over Sarpedon 404
XVI.8 · Sarpedon Carried to Lycia 411
XVI.9 · Cebriones 416
XVI.10 · The Death of Patroclus 422

BOOK IX

IX.1 · AGAMEMNON DESPAIRS

Panic grips the Achaeans, and Agamemnon, weeping like a dark spring, calls the army to assembly and proposes that they sail home, since Zeus has deceived him. Diomedes answers that Zeus gave Agamemnon the scepter but not courage, and that he and Sthenelus will fight on alone if everyone else leaves. The army cheers. Nestor praises him, has the young men set the watch between the ditch and the wall, and tells Agamemnon to feast the elders and take the best advice.

Ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιοὺς
So they indeed the-Trojans watches held but the-Achaeans
θεσπεσίη ἔχε φύζα φόβου κρυόεντος ἑταίρη,
wondrous held panic of-rout chilling the-companion
πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι.
with-grief and unbearable were-stricken all the-best
ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα
as and winds two the-sea stir fish-filled
Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον
Boreas and Zephyrus which — from-Thrace blow
ἐλθόντ' ἐξαπίνης· ἄμυδις δέ τε κῦμα κελαινὸν
coming suddenly together and — the-wave dark
κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευεν·
rears-its-crest much and along the-sea seaweed pours
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
so was-torn the-heart in breast of-the-Achaeans

Ἀτρεΐδης δ᾽ ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ
the-son-of-Atreus and with-grief great stricken at-heart
φοίτα κηρύκεσσι λιγυφθόγγοισι κελεύων
went-about the-heralds clear-voiced bidding
κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον,
by-name into the-assembly to-call man each
μηδὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο.
nor to-shout himself and among the-first toiled
ἷζον δ᾽ εἰν ἀγορῇ τετιηότες· ἂν δ᾽ Ἀγαμέμνων
they-sat and in assembly dejected up and Agamemnon
ἵστατο δάκρυ χέων ὥς τε κρήνη μελάνυδρος
stood tears shedding like — a-spring dark-watered
ἥ τε κατ᾽ αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ·
which — down from-a-steep rock murky pours water
ὣς ὅ βαρὺ στενάχων ἔπε᾽ Ἀργείοισι μετηύδα·
so he heavily groaning words to-the-Argives spoke
“ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
O friends of-the-Argives leaders and rulers
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
Zeus me greatly son-of-Cronus in-folly has-bound heavy
σχέτλιος, ὃς τότε μέν μοι ὑπέσχετο καὶ κατένευσεν
cruel who then indeed to-me promised and nodded-assent
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,
Ilium having-sacked well-walled to-return-home
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
now and evil deceit he-has-devised and me bids
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
inglorious Argos to-reach since many I-have-lost the-people
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
so somehow to-Zeus it-must over-mighty pleasing be

ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
who indeed of-many cities has-loosed the-heads
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
and still also will-loose of-him for the-power is greatest
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
but come as — I say let-us-obey all
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
let-us-flee with ships dear to native land
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν."
not for longer Troy we-shall-take wide-streeted
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
So he-spoke they and then all silent became in-silence
δὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
long and speechless they-were dejected the-sons of-the-Achaeans
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
late and indeed spoke-among at-the-war-cry good Diomedes
" Ἀτρεΐδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι,
son-of-Atreus with-you first I-will-fight being-foolish
ἢ θέμις ἐστίν, ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.
as right is lord in-assembly you and not at-all be-angry
ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
(my)-courage indeed to-me first you-reproached among the-Danaans
φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
saying(-me) to-be unwarlike and strengthless these-things and all
ἴσασ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
know of-the-Argives both young and old
σοὶ δὲ διάνδιχα δῶκε Κρόνου πάϊς ἀγκυλομήτεω·
to-you and in-two-ways gave of-Cronus the-son crooked-counseled
σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων,
with-the-staff indeed to-you he-gave to-be-honored above all

ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον.
courage and not to-you he-gave which — power is greatest
δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
strange-one so surely very do-you-expect the-sons of-the-Achaeans
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
unwarlike and to-be and strengthless as you-say
εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ὥς τε νέεσθαι,
if and to-you yourself the-heart is-eager so-that — to-return
ἔρχεο· πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης
go beside you the-way the-ships and for-you near the-sea
ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
stand which you followed from-Mycenae very many
ἀλλ' ἄλλοι μενέουσι κάρη κομόωντες Ἀχαιοὶ
but others will-stay on-head long-haired Achaeans
εἰς ὅ κέ περ Τροίην διαπέρσομεν. εἰ δὲ καὶ αὐτοὶ
until the-time — indeed Troy we-sack if and also themselves
φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
let-them-flee with ships dear to native land
νῶϊ δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ' εἰς ὅ κε τέκμωρ
we-two and I Sthenelus and will-fight until the-time — the-end
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν."
of-Ilium we-find with for a-god we-have-come
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν
So he-spoke they and then all shouted-aloud the-sons of-the-Achaeans
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
the-word admiring of-Diomedes horse-taming
τοῖσι δ' ἀνιστάμενος μετεφώνεεν ἱππότα Νέστωρ·
among-them and rising spoke-among horseman Nestor
"Τυδεΐδη, πέρι μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,
son-of-Tydeus above indeed war in strong you-are

καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος.
and in-counsel among all those-your-age you-are best
οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,
not anyone to-you the word will-make-light-of as-many-as Achaeans
οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
nor back will-gainsay but not the-end you-reached of-words
ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάϊς εἴης
truly indeed even young you-are my and — even son you-might-be
ὁπλότατος γενεῇφιν· ἀτὰρ πεπνυμένα βάζεις
youngest by-birth but prudent-things you-speak
Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες.
of-the-Argives (to)-the-kings since according-to due you-spoke
ἀλλ' ἄγ' ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
but come I who than-you older claim to-be
ἐξείπω καὶ πάντα διίξομαι· οὐδέ κέ τίς μοι
will-speak-out and all will-go-through nor — any to-me
μῦθον ἀτιμήσει', οὐδὲ κρείων Ἀγαμέμνων.
the-word would-dishonor not-even lord Agamemnon
ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος
clanless lawless heartless is that-man
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
who in-war delights civil chilling
ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
but truly now indeed let-us-yield to-night black
δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
suppers and let-us-make-ready the-guards and each
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
let-them-lie-down beside the-ditch dug the-wall outside
κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,
to-the-youths indeed these-things I-enjoin but then

Ἀτρεΐδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι.
son-of-Atreus you indeed lead you for most-kingly are
δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές.
give a-feast to-the-elders it-befits you not to-you unseemly
πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
full for-you of-wine the-huts which the-ships of-the-Achaeans
ἠμάτιαι Θρῄκηθεν ἐπ᾽ εὐρέα πόντον ἄγουσι·
daily from-Thrace over broad sea bring
πᾶσά τοί ἐσθ᾽ ὑποδεξίη, πολέεσσι δ᾽ ἀνάσσεις.
all to-you is entertainment over-many and you-rule
πολλῶν δ᾽ ἀγρομένων τῷ πείσεαι ὅς κεν ἀρίστην
of-many and gathered him you-will-obey who — the-best
βουλὴν βουλεύσῃ· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
counsel counsels very and need all the-Achaeans
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν
of-good and shrewd since the-foes near the-ships
καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειε;
burn fires many who — these-things would-rejoice-at
νὺξ δ᾽ ἦδ᾽ ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει.᾽᾽
night and this either will-shatter the-army or will-save
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο.
So he-spoke they and then him very indeed heard and obeyed
ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο
out and the-guards with arms rushed
ἀμφί τε Νεστορίδην Θρασυμήδεα, ποιμένα λαῶν,
around both the-son-of-Nestor Thrasymedes shepherd of-the-people
ἠδ᾽ ἀμφ᾽ Ἀσκάλαφον καὶ Ἰάλμενον, υἷας Ἄρηος,
and around Ascalaphus and Ialmenus sons of-Ares
ἀμφί τε Μηριόνην Ἀφαρῆά τε Δηΐπυρόν τε,
around and Meriones Aphareus both Deipyrus and

ἠδ᾽ ἀμφὶ Κρείοντος υἱὸν Λυκομήδεα δῖον.
and around of-Creon the-son Lycomedes noble
ἕπτ᾽ ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
seven were leaders of-the-guards a-hundred and with-each
κοῦροι ἅμα στεῖχον δολίχ᾽ ἔγχεα χερσὶν ἔχοντες·
youths together marched long spears in-hands holding
κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες·
down and in-the-middle of-the-ditch and of-the-wall they-sat going
ἔνθα δὲ πῦρ κήαντο, τίθεντο δὲ δόρπα ἕκαστος.
there and fire they-kindled made and suppers each

IX.2 · THE OFFER OF GIFTS

At the feast Nestor tells Agamemnon that he wronged Achilles by taking Briseis, and must win him back with gifts and gentle words. Agamemnon admits his folly and lists the gifts: tripods, gold, cauldrons, horses, seven Lesbian women, and Briseis untouched; after Troy falls, a ship of spoil and twenty Trojan women; at home, a daughter and seven cities. Achilles must yield to him. Nestor names Phoenix, Ajax, and Odysseus as envoys, and they set out after a libation.

Ἀτρεΐδης δὲ γέροντας ἀολλέας ἦγεν Ἀχαιῶν
the-son-of-Atreus and the-elders gathered led of-the-Achaeans
ἐς κλισίην, παρὰ δέ σφι τίθει μενοεικέα δαῖτα.
to the-hut beside and them he-set a-satisfying feast
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἄλλον.
they and on the-good-things ready lying-before hands put-forth
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-had-put
τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν,
among-them the old-man first-of-all to-weave began counsel

Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
Nestor whose also before best seemed counsel
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them with-good-intent addressed-the-assembly and spoke-among(-them)
" Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
son-of-Atreus most-glorious lord of-men Agamemnon
ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
with you indeed I-will-end from-you and I-will-begin because of-many
λαῶν ἐσσι ἄναξ καί τοι Ζεὺς ἐγγυάλιξε
peoples you-are lord and to-you Zeus has-granted
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσθα.
the-staff both and ordinances so-that for-them you-may-take-counsel
τῶ σε χρὴ πέρι μὲν φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι,
therefore you it-is-needful beyond indeed to-speak a-word and to-hearken
κρηῆναι δὲ καὶ ἄλλῳ, ὅτ' ἄν τινα θυμὸς ἀνώγῃ
to-fulfill and also for-another when — anyone the-heart bids
εἰπεῖν εἰς ἀγαθόν· σέο δ' ἕξεται ὅττι κεν ἄρχῃ.
to-speak for good on-you and will-hang whatever — he-begins
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
but I will-say as to-me seems to-be best
οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει,
not for any a-mind other better than-this will-devise
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
such-as I devise both of-old and still also now

ἐξ ἔτι τοῦ ὅτε, διογενές, Βρισηΐδα κούρην
from still that when Zeus-born Briseis the-girl
χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας
angered Achilles you-went from-the-hut taking(-her)-away
οὔ τι καθ᾽ ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
not at-all according-to our indeed mind very for you-know I-indeed
πόλλ᾽ ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
much dissuaded(-you) you and to-your great-hearted heart
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτεισαν, 110
yielding a-man the-mightiest whom the-immortals indeed honored
ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας· ἀλλ᾽ ἔτι καὶ νῦν
dishonored having-taken for you-hold (his)-prize but still also now
φραζώμεσθ᾽ ὥς κέν μιν ἀρεσσάμενοι πεπίθωμεν
let-us-consider how — him appeasing we-may-persuade
δώροισίν τ᾽ ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισι.”
with-gifts both kindly with-words and gentle
Τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Him and in-turn addressed lord of-men Agamemnon
“ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας· 115
O old-man not at-all falsely my follies you-recounted
ἀασάμην, οὐδ᾽ αὐτὸς ἀναίνομαι. ἀντί νυ πολλῶν
I-was-blinded not-even myself do-I-deny worth now many
λαῶν ἐστιν ἀνὴρ ὅν τε Ζεὺς κῆρι φιλήσῃ,
peoples is a-man whom — Zeus at-heart loves
ὡς νῦν τοῦτον ἔτεισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν.
as now this-one he-has-honored subdued and the-people of-the-Achaeans
ἀλλ᾽ ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας,
but since I-was-blinded to-mind baneful yielding
ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ᾽ ἀπερείσι᾽ ἄποινα. 120
back I-wish to-make-amends to-give and boundless ransom

ὑμῖν δ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω,
to-you and among all the-very-famed gifts I-will-name
ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
seven untouched-by-fire tripods ten and of-gold talents
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους
gleaming and cauldrons twenty twelve and horses
παγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
stout prize-winning who prizes with-feet won
οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ᾧ τόσσα γένοιτο,
not — without-booty would-be a-man to-whom so-many-things should-be
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
nor — without-possession of-precious gold
ὅσσα μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
as-much-as for-me have-won prizes single-hoofed horses
δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονα ἔργα ἰδυίας,
I-will-give and seven women blameless works knowing
Λεσβίδας, ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτὸς
Lesbian-women whom when Lesbos well-built took himself
ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.
I-chose-out who in-beauty surpassed the-tribes of-women
τὰς μέν οἱ δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρων,
these indeed to-him I-will-give among and will-be whom then I-took-away
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι
the-girl of-Briseus on and great oath I-will-swear
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
not ever her bed to-have-mounted and to-have-lain-with(-her)
ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
as right of-men is of-men and of-women

ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
these-things indeed at-once all will-be-at-hand if and — again
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
the-town great of-Priam the-gods grant to-sack
νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω
a-ship in-abundance with-gold and bronze let-him-heap
εἰσελθών, ὅτε κεν δατεώμεθα λῃΐδ' Ἀχαιοί,
entering when — we-divide the-spoil Achaeans
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
Trojan and women twenty himself let-him-choose
αἳ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
who — after Argive Helen most-beautiful are
εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκόν, οὖθαρ ἀρούρης,
if and — Argos we-reach Achaean udder of-the-land
γαμβρός κέν μοι ἔοι· τείσω δέ μιν ἶσον Ὀρέστῃ,
son-in-law — to-me he-would-be I-will-honor and him equally with-Orestes
ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
who for-me late-born is-reared plenty in great
τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ
three and to-me are daughters in hall well-built
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα,
Chrysothemis and Laodice and Iphianassa
τάων ἥν κ' ἐθέλῃσι φίλην ἀνάεδνον ἀγέσθω
of-them whichever — he-wishes dear(-wife) without-bride-price let-him-lead
πρὸς οἶκον Πηλῆος· ἐγὼ δ' ἐπὶ μείλια δώσω
to the-house of-Peleus I and in-addition soothing-gifts will-give
πολλὰ μάλ', ὅσσ' οὔ πώ τις ἑῇ ἐπέδωκε θυγατρί·
many very such-as not yet anyone to-his-own gave-in-addition daughter
ἑπτὰ δέ οἱ δώσω εὖ ναιόμενα πτολίεθρα,
seven and to-him I-will-give well inhabited citadels

Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν,
Cardamyle Enope both and Hire grassy
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον,
Pherae and most-holy and Antheia deep-meadowed
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
fair and Aepeia and Pedasus vine-rich
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος·
all and near the-sea farthest of-Pylos sandy
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
in and men dwell rich-in-lambs rich-in-cattle
οἵ κέ ἑ δωτίνῃσι θεὸν ὣς τιμήσουσι
who — him with-gifts a-god like will-honor
καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
and to-him under the-staff rich will-pay dues
ταῦτά κέ οἱ τελέσαιμι μεταλλήξαντι χόλοιο.
these-things — for-him I-would-accomplish ceasing from-anger
δμηθήτω — Ἀΐδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος·
let-him-be-subdued Hades you-know implacable and unsubdued
τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων —
therefore also — to-mortals of-the-gods most-hateful of-all
καί μοι ὑποστήτω, ὅσσον βασιλεύτερός εἰμι
and to-me let-him-submit inasmuch-as more-kingly I-am
ἠδ' ὅσσον γενεῇ προγενέστερος εὔχομαι εἶναι."
and inasmuch-as in-birth older I-claim to-be

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
" Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
son-of-Atreus most-glorious lord of-men Agamemnon
δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς Ἀχιλῆϊ ἄνακτι·
gifts indeed no-longer to-be-scorned you-give to-Achilles lord

ἀλλ᾽ ἄγετε, κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
but come chosen-men let-us-send who — most-quickly
ἔλθωσ᾽ ἐς κλισίην Πηληϊάδεω Ἀχιλῆος.
may-go to the-hut of-the-son-of-Peleus Achilles
εἰ δ᾽ ἄγε, τοὺς ἂν ἐγὼ ἐπιόψομαι, οἱ δὲ πιθέσθων.
if and come them — I will-pick-out they and let-them-obey
Φοῖνιξ μὲν πρώτιστα Διΐ φίλος ἡγησάσθω,
Phoenix indeed first-of-all to-Zeus dear let-him-lead
αὐτὰρ ἔπειτ᾽ Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·
but then Ajax both great and noble Odysseus
κηρύκων δ᾽ Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ᾽ ἑπέσθων.
of-the-heralds and Odius both and Eurybates with let-them-follow
φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
bring and for-hands water to-keep-holy-silence and bid
ὄφρα Διὶ Κρονίδῃ ἀρησόμεθ᾽, αἴ κ᾽ ἐλεήσῃ.᾽᾽
so-that to-Zeus son-of-Cronus we-may-pray if — he-will-pity
Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπεν.
So he-spoke to-them and all pleasing word he-spoke
αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
at-once the-heralds indeed water on hands poured
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
youths and bowls filled-to-the-brim with-drink
νώμησαν δ᾽ ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
distributed and then to-all having-poured-first-drops in-cups
αὐτὰρ ἐπεὶ σπείσάν τ᾽ ἔπιόν θ᾽ ὅσον ἤθελε θυμός,
but when they-had-poured both drunk and as-much-as wished the-heart
ὡρμῶντ᾽ ἐκ κλισίης Ἀγαμέμνονος Ἀτρεΐδαο.
they-set-out from the-hut of-Agamemnon son-of-Atreus
τοῖσι δὲ πόλλ᾽ ἐπέτελλε Γερήνιος ἱππότα Νέστωρ,
to-them and many-things enjoined Gerenian horseman Nestor

δενδίλλων ἐς ἕκαστον, Ὀδυσσῆϊ δὲ μάλιστα,
glancing at each to-Odysseus and most
πειρᾶν ὡς πεπίθοιεν ἀμύμονα Πηλεΐωνα.
to-try how they-might-persuade blameless the-son-of-Peleus

IX.3 · THE EMBASSY ARRIVES

The envoys walk along the shore praying to Poseidon and find Achilles singing the glories of men to his lyre, with Patroclus sitting opposite. Achilles greets them as the dearest of the Achaeans and has Patroclus mix stronger wine. Achilles carves the meat, Patroclus roasts it, and Achilles serves it. After the meal Ajax nods to Phoenix, but Odysseus notices, fills a cup, and toasts Achilles first.

Τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης
The-two and went along the-shore of-the-loud-resounding sea
πολλὰ μάλ' εὐχομένω γαιηόχῳ ἐννοσιγαίῳ
much very praying to-the-earth-holder earth-shaker
ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο.
easily to-persuade the-great mind of-the-son-of-Aeacus
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην,
of-the-Myrmidons and to — the-huts and ships they-came
τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ
him and they-found in-mind delighting-himself with-the-lyre clear
καλῇ δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν,
fair elaborate on and silver the-bridge was
τὴν ἄρετ' ἐξ ἐνάρων πόλιν Ἠετίωνος ὀλέσσας·
which he-took from the-spoils the-city of-Eetion having-destroyed
τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν.
with-it he indeed his-heart delighted sang and then the-glories of-men
Πάτροκλος δέ οἱ οἷος ἐναντίος ἧστο σιωπῇ,
Patroclus and to-him alone facing sat in-silence

δέγμενος Αἰακίδην, ὁπότε λήξειεν ἀείδων,
waiting-for the-son-of-Aeacus when he-should-cease singing
τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς,
the-two and went forward led and noble Odysseus
στὰν δὲ πρόσθ' αὐτοῖο· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς
they-stood and before him astonished and sprang-up Achilles
αὐτῇ σὺν φόρμιγγι, λιπὼν ἕδος ἔνθα θάασσεν.
very with lyre leaving the-seat where he-was-sitting
ὣς δ' αὖτως Πάτροκλος, ἐπεὶ ἴδε φῶτας, ἀνέστη.
so and likewise Patroclus when he-saw the-men stood-up
τὼ καὶ δεικνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
the-two also greeting addressed in-feet swift Achilles
"χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρεώ,
hail truly as-friends men you-come truly some very need
οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον."
who to-me angered though of-the-Achaeans dearest are
Ὣς ἄρα φωνήσας προτέρω ἄγε δῖος Ἀχιλλεύς,
So then having-spoken forward led noble Achilles
εἶσεν δ' ἐν κλισμοῖσι τάπησί τε πορφυρέοισιν.
he-seated(-them) and on chairs on-rugs and purple
αἶψα δὲ Πάτροκλον προσεφώνεεν ἐγγὺς ἐόντα·
quickly and Patroclus addressed near being
"μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίστα,
a-larger indeed bowl of-Menoetius son set-up
ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνον ἑκάστῳ·
stronger and mix(-it) a-cup and make-ready for-each
οἵ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ."
these for dearest men my are-under roof

Ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
So he-spoke Patroclus and his-dear obeyed comrade

αὐτὰρ ὅ γε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
but he indeed a-meat-block great set-down in of-fire the-glow

ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄϊος καὶ πίονος αἰγός,
in and then a-chine he-put of-a-sheep and of-a-fat goat

ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
in and of-a-hog fatted the-chine rich with-fat

τῷ δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.
for-him and held Automedon carved and then noble Achilles

καὶ τὰ μὲν εὖ μίστυλλε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρε,
and these indeed well cut-up and around spits pierced

πῦρ δὲ Μενοιτιάδης δαΐεν μέγα, ἰσόθεος φώς.
the-fire and the-son-of-Menoetius kindled great godlike man

αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη,
but when down the-fire burned and the-flame died-down

ἀνθρακιὴν στορέσας ὀβελοὺς ἐφύπερθε τάνυσσε,
the-embers having-spread-out the-spits above he-stretched

πάσσε δ' ἁλὸς θείοιο κρατευτάων ἐπαείρας.
sprinkled and with-salt divine on-the-firedogs lifting(-them)

αὐτὰρ ἐπεί ῥ' ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔχευε,
but when then he-roasted(-it) and on platters poured(-it)

Πάτροκλος μὲν σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
Patroclus indeed bread taking distributed on-the-table

καλοῖς ἐν κανέοισιν, ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
fair in baskets but the-meat distributed Achilles

αὐτὸς δ᾽ ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο
himself and facing sat Odysseus godlike
τοίχου τοῦ ἑτέροιο, θεοῖσι δὲ θῦσαι ἀνώγει
of-the-wall the other to-the-gods and to-sacrifice he-bade
Πάτροκλον, ὃν ἑταῖρον· ὁ δ᾽ ἐν πυρὶ βάλλε θυηλάς. 220
Patroclus his-own comrade he and into the-fire cast the-offerings
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on the-good-things ready lying-before hands put-forth
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-had-put
νεῦσ᾽ Αἴας Φοίνικι· νόησε δὲ δῖος Ὀδυσσεύς,
nodded Ajax to-Phoenix noticed and noble Odysseus
πλησάμενος δ᾽ οἴνοιο δέπας δείδεκτ᾽ Ἀχιλῆα·
having-filled and with-wine a-cup he-pledged Achilles

IX.4 · ODYSSEUS' APPEAL

Odysseus tells Achilles that the Trojans are camped by the ships, that Zeus sends them good omens, and that Hector means to burn the ships at dawn. He reminds him of Peleus' parting advice to restrain his pride, and repeats Agamemnon's list of gifts. Even if Achilles hates Agamemnon, Odysseus says, he should pity the other Achaeans, and he could now kill Hector, who thinks no Danaan his equal.

"χαῖρ᾽, Ἀχιλεῦ· δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς 225
hail Achilles of-a-feast indeed equal not lacking
ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρεΐδαο
both in the-hut of-Agamemnon son-of-Atreus
ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοεικέα πολλὰ
and also here now are-at-hand for satisfying(-things) many
δαίνυσθ᾽· ἀλλ᾽ οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν,
to-feast-on but not of-the-feast lovely the-works are-a-care(-to-us)

ἀλλὰ λίην μέγα πῆμα, διοτρεφές, εἰσορόωντες
but exceedingly great a-bane Zeus-nurtured looking-on
δείδιμεν· ἐν δοιῇ δὲ σαωσέμεν ἢ ἀπολέσθαι
we-fear in doubt and to-save or to-perish
νῆας ἐϋσσέλμους, εἰ μὴ σύ γε δύσεαι ἀλκήν.
the-ships well-benched if not you indeed put-on courage
ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
near for the-ships and the-wall bivouac have-set
Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
the-Trojans high-spirited far-famed and allies
κηάμενοι πυρὰ πολλὰ κατὰ στρατόν, οὐδ' ἔτι φασὶ
having-kindled fires many through the-host nor longer they-say
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
to-hold-back but on ships black to-fall
Ζεὺς δέ σφι Κρονίδης ἐνδέξια σήματα φαίνων
Zeus and for-them the-son-of-Cronus on-the-right signs showing
ἀστράπτει· Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων
lightens Hector and greatly in-strength exulting
μαίνεται ἐκπάγλως, πίσυνος Διί, οὐδέ τι τίει
rages terribly trusting in-Zeus nor at-all honors
ἀνέρας οὐδὲ θεούς· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.
men nor gods strong and him frenzy has-entered
ἀρᾶται δὲ τάχιστα φανήμεναι Ἠῶ δῖαν·
he-prays and most-quickly to-appear Dawn bright
στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα
he-vows for of-the-ships to-cut-off the-top sternposts
αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρός, αὐτὰρ Ἀχαιοὺς
themselves and to-burn with-fierce fire but the-Achaeans
δηώσειν παρὰ τῇσιν ὀρινομένους ὑπὸ καπνοῦ.
to-slay beside them stirred-up by the-smoke

ταῦτ᾽ αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰς
these-things terribly I-fear in mind lest for-him the-threats
ἐκτελέσωσι θεοί, ἡμῖν δὲ δὴ αἴσιμον εἴη
may-fulfill the-gods for-us and indeed fated may-be
φθίσθαι ἐνὶ Τροίῃ ἑκὰς Ἄργεος ἱπποβότοιο.
to-perish in Troy far from-Argos horse-pasturing
ἀλλ᾽ ἄνα, εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν
but up if you-are-eager indeed even late though the-sons of-the-Achaeans
τειρομένους ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
worn-down to-rescue from of-the-Trojans the-din
αὐτῷ τοι μετόπισθ᾽ ἄχος ἔσσεται, οὐδέ τι μῆχος
yourself to-you hereafter grief will-be nor at-all means
ῥεχθέντος κακοῦ ἔστ᾽ ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
done evil is a-remedy to-find but much before
φράζευ ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ.
take-thought how from-the-Danaans you-will-ward-off the-evil day
ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
O friend truly indeed to-you indeed the-father enjoined Peleus
ἤματι τῷ ὅτε σ᾽ ἐκ Φθίης Ἀγαμέμνονι πέμπε·
on-day that when you from Phthia to-Agamemnon he-sent
‘τέκνον ἐμόν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη
child my might indeed Athena both and Hera
δώσουσ᾽, αἴ κ᾽ ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμὸν
will-give if — they-wish you and great-hearted heart
ἴσχειν ἐν στήθεσσι· φιλοφροσύνη γὰρ ἀμείνων·
restrain in breast kindness for better
λῆγέμεναι δ᾽ ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
cease and from-strife evil-devising so-that you the-more
τίωσ᾽ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.’
may-honor of-the-Argives both young and old

ὣς ἐπέτελλ᾽ ὁ γέρων, σὺ δὲ λήθεαι· ἀλλ᾽ ἔτι καὶ νῦν
so enjoined the old-man you and forget but still even now
παύε᾽, ἔα δὲ χόλον θυμαλγέα· σοὶ δ᾽ Ἀγαμέμνων
cease let and anger heart-grieving to-you and Agamemnon
ἄξια δῶρα δίδωσι μεταλλήξαντι χόλοιο.
worthy gifts gives ceasing from-anger
εἰ δὲ σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω
if and you indeed me hear I and — to-you will-recount
ὅσσα τοι ἐν κλισίῃσιν ὑπέσχετο δῶρ᾽ Ἀγαμέμνων·
how-many to-you in huts promised gifts Agamemnon
ἕπτ᾽ ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
seven untouched-by-fire tripods ten and of-gold talents
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ᾽ ἵππους
gleaming and cauldrons twenty twelve and horses
πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
stout prize-winning who prizes with-feet won
οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ᾧ τόσσα γένοιτο,
not — without-booty would-be a-man to-whom so-many-things should-be
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
nor — without-possession of-precious gold
ὅσσ᾽ Ἀγαμέμνονος ἵπποι ἀέθλια ποσσὶν ἄροντο.
as-much-as Agamemnon's horses prizes with-feet won
δώσει δ᾽ ἑπτὰ γυναῖκας ἀμύμονα ἔργα ἰδυίας,
he-will-give and seven women blameless works knowing
Λεσβίδας, ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλες αὐτὸς
Lesbian-women whom when Lesbos well-built you-took yourself
ἐξέλεθ᾽, αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
he-chose-out who then in-beauty surpassed the-tribes of-women
τὰς μέν τοι δώσει, μετὰ δ᾽ ἔσσεται ἣν τότ᾽ ἀπηύρα,
these indeed to-you he-will-give among and will-be whom then he-took-away

κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται
the-girl of-Briseus on and great oath he-will-swear
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
not ever her bed to-have-mounted and to-have-lain-with(-her)
ἣ θέμις ἐστίν, ἄναξ, ἥ τ' ἀνδρῶν ἥ τε γυναικῶν.
as right is lord either — of-men or — of-women
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
these-things indeed at-once all will-be-at-hand if and — again
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἁλαπάξαι,
the-town great of-Priam the-gods grant to-sack
νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι
a-ship in-abundance with-gold and bronze to-load
εἰσελθών, ὅτε κεν δατεώμεθα λῃΐδ' Ἀχαιοί,
entering when — we-divide the-spoil Achaeans
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθαι,
Trojan and women twenty yourself to-choose
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
who — after Argive Helen most-beautiful are
εἰ δέ κεν Ἄργος ἰκοίμεθ' Ἀχαιϊκόν, οὖθαρ ἀρούρης,
if and — Argos we-reach Achaean udder of-the-land
γαμβρός κέν οἱ ἔοις· τείσει δέ σε ἶσον Ὀρέστῃ,
son-in-law — to-him you-may-be he-will-honor and you equally with-Orestes
ὅς οἱ τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
who for-him late-born is-reared plenty in great
τρεῖς δέ οἱ εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ
three and to-him are daughters in hall well-built
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα,
Chrysothemis and Laodice and Iphianassa
τάων ἥν κ' ἐθέλῃσθα φίλην ἀνάεδνον ἄγεσθαι
of-them whichever — you-wish dear(-wife) without-bride-price to-lead

πρὸς οἶκον Πηλῆος· ὁ δ' αὖτ' ἐπὶ μείλια δώσει
to the-house of-Peleus he and in-turn in-addition soothing-gifts will-give
πολλὰ μάλ', ὅσσ' οὔ πώ τις ἑῇ ἐπέδωκε θυγατρί·
many very such-as not yet anyone to-his-own gave-in-addition daughter
ἑπτὰ δέ τοι δώσει εὖ ναιόμενα πτολίεθρα
seven and to-you he-will-give well inhabited citadels
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν,
Cardamyle Enope both and Hire grassy
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον,
Pherae and most-holy and Antheia deep-meadowed
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
fair and Aepeia and Pedasus vine-rich
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος·
all and near the-sea farthest of-Pylos sandy
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
in and men dwell rich-in-lambs rich-in-cattle
οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσουσι
who — you with-gifts a-god like will-honor
καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
and to-you under the-staff rich will-pay dues
ταῦτά κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο.
these-things — for-you he-would-accomplish ceasing from-anger
εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον,
if and to-you the-son-of-Atreus indeed has-become-hateful at-heart more
αὐτὸς καὶ τοῦ δῶρα, σὺ δ' ἄλλους περ Παναχαιοὺς
himself and his gifts you and others though all-the-Achaeans
τειρομένους ἐλέαιρε κατὰ στρατόν, οἵ σε θεὸν ὣς
worn-down pity through the-host who you a-god like
τείσουσ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἄροιο·
will-honor truly for — among-them very great glory you-would-win

νῦν γάρ χ' Ἕκτορ' ἕλοις, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθοι
now for — Hector you-might-take since — very to-you near he-would-come
λύσσαν ἔχων ὀλοήν, ἐπεὶ οὔ τινά φησιν ὁμοῖον
frenzy having baneful since not anyone he-says like
οἱ ἔμεναι Δαναῶν, οὓς ἐνθάδε νῆες ἔνεικαν."
to-himself to-be of-the-Danaans whom here the-ships brought

IX.5 · ACHILLES REFUSES

Achilles answers bluntly that he hates a man who hides one thing in his heart and says another. The coward and the brave win the same honor, and he has sacked twenty-three cities for Agamemnon, who kept most of the spoil and took his prize. The Atreidae are not the only men who love their wives. Let Agamemnon, Odysseus, and the kings save the ships, since their wall cannot hold Hector. At dawn Achilles will sail for Phthia, and he will never again trust Agamemnon.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and answering addressed in-feet swift Achilles
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
it-is-needful indeed truly the word bluntly to-speak-out
ᾗ περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
as indeed indeed I-think both and as accomplished will-be
ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
so-that not to-me you-may-coo sitting-beside from-one-side another
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν
hateful for to-me that-man like of-Hades the-gates
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
who — one-thing indeed hides in mind another and speaks

αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
but I will-say as to-me seems to-be best
οὔτ' ἔμεγ' Ἀτρεΐδην Ἀγαμέμνονα πεισέμεν οἴω
neither me-indeed the-son-of-Atreus Agamemnon to-persuade I-think
οὔτ' ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
nor other Danaans since not then any thanks there-was
μάρνασθαι δηΐοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
to-fight hostile against men ceaselessly always
ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
equal the-portion for-one-staying and if very any should-fight
ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός·
in and one honor both the-coward and also the-brave
κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.
dies alike the both idle man the and many-things having-done
οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ
nor at-all to-me is-left-over since I-suffered pains in-heart
αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
always my life risking to-fight
ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
as and a-bird to-unfledged nestlings brings
μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ,
a-morsel when — she-gets(-it) evilly and then for-her it-goes herself
ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
so also I many indeed sleepless nights spent
ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
days and bloody passed-through fighting
ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
with-men fighting of-wives for-the-sake their
δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
twelve indeed with ships cities I-sacked of-men

πεζὸς δ' ἔνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
on-foot and eleven I-say throughout Troy deep-soiled
τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
of-these from all treasures many and good
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
I-took-out and all bringing to-Agamemnon I-would-give
Ἀτρεΐδῃ· ὁ δ' ὄπισθε μένων παρὰ νηυσὶ θοῇσι
the-son-of-Atreus he and behind staying beside ships swift
δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν.
receiving(-them) among few would-distribute many and would-keep
ἄλλα δ' ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσι·
others and to-the-chieftains he-gave as-prizes and to-the-kings
τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
for-them indeed securely lie me and from alone of-the-Achaeans
εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα· τῇ παριαύων
he-took he-holds and a-wife pleasing-to-the-heart with-her lying-beside
τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
let-him-take-his-pleasure why and must to-war with-the-Trojans
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
the-Argives why and the-people led-up here having-gathered(-them)
Ἀτρεΐδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
the-son-of-Atreus truly not of-Helen for-the-sake lovely-haired
ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
truly alone love the-wives of-mortal men
Ἀτρεΐδαι; ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων
the-sons-of-Atreus since who any man good and sensible
τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τὴν
the his-own loves and cares-for as also I her
ἐκ θυμοῦ φίλεον δουρικτητήν περ ἐοῦσαν.
from heart loved spear-won though being

νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο καί μ' ἀπάτησε,
now and since from hands the-prize he-took and me deceived
μή μευ πειράτω εὖ εἰδότος· οὐδέ με πείσει.
not me let-him-try well knowing nor me will-be-persuade
ἀλλ', Ὀδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσι
but Odysseus with you both and other kings
φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
let-him-consider for-the-ships to-ward-off consuming fire
ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
truly indeed truly very many-things he-has-toiled apart from-me
καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ
and indeed a-wall he-built and drove a-ditch along it
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν·
broad great in and stakes he-fixed
ἀλλ' οὐδ' ὣς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
but not-even so is-he-able the-might of-Hector man-slaying
ἴσχειν· ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσιν πολέμιζον
to-hold-back while and I among the-Achaeans fought
οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ,
not was-willing battle from the-wall to-rouse Hector
ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν·
but as-far-as to the-Scaean both gates and the-oak he-came
ἔνθα ποτ' οἷον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν.
there once me-alone he-awaited scarcely and my he-escaped onset
νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν Ἕκτορι δίῳ,
now and since not I-wish to-fight with-Hector noble
αὔριον ἱρὰ Διὶ ῥέξας καὶ πᾶσι θεοῖσι,
tomorrow sacred-offerings to-Zeus having-done and to-all the-gods
νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
having-loaded well the-ships when to-the-sea I-drag(-them)

ὄψεαι, αἴ κ᾽ ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
you-will-see if — you-wish and if — to-you these-things are-a-care
ἦρι μάλ᾽ Ἑλλήσποντον ἐπ᾽ ἰχθυόεντα πλεούσας
early very the-Hellespont upon fish-filled sailing
νῆας ἐμάς, ἐν δ᾽ ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·
ships my in and men to-row eager
εἰ δέ κεν εὐπλοίην δώῃ κλυτὸς ἐννοσίγαιος,
if and — a-fair-voyage gives the-famed earth-shaker
ἤματί κε τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
on-day — third Phthia deep-soiled I-would-reach
ἔστι δέ μοι μάλα πολλά, τὰ κάλλιπον ἐνθάδε ἔρρων·
there-are and to-me very many-things which I-left here going-to-my-ruin
ἄλλον δ᾽ ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρὸν
other and from-here gold and bronze red
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον
and women well-girdled gray and iron
ἄξομαι, ἅσσ᾽ ἔλαχόν γε· γέρας δέ μοι, ὅς περ ἔδωκεν,
I-will-take which I-got-by-lot indeed the-prize and to-me who indeed gave(-it)
αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
again insulting took lord Agamemnon
Ἀτρεΐδης· τῷ πάντ᾽ ἀγορευέμεν, ὡς ἐπιτέλλω,
the-son-of-Atreus to-him all tell as I-enjoin
ἀμφαδόν, ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοί,
openly so-that also others may-be-indignant the-Achaeans
εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν
if any perhaps of-the-Danaans still he-hopes to-deceive
αἰὲν ἀναιδείην ἐπιειμένος· οὐδ᾽ ἂν ἔμοιγε
always in-shamelessness clothed nor — me-indeed
τετλαίη κύνεός περ ἐὼν εἰς ὦπα ἰδέσθαι·
would-be-dare dog-like though being in face to-look

οὐδέ τί οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον·
nor at-all with-him counsels shall-I-devise nor indeed work
ἐκ γὰρ δή μ' ἀπάτησε καὶ ἤλιτεν· οὐδ' ἂν ἔτ' αὖτις
out for indeed me he-deceived and sinned nor — longer again
ἐξαπάφοιτ' ἐπέεσσιν· ἅλις δέ οἱ· ἀλλὰ ἕκηλος
would-he-beguile(-me) with-words enough and for-him but at-ease
ἐρρέτω· ἐκ γάρ εὐ φρένας εἵλετο μητίετα Ζεύς.
let-him-go-to-ruin out for his wits took counselor Zeus

IX.6 · NO GIFT IS WORTH A LIFE

Achilles says he would not be won over by ten or twenty times the gifts, or by all the wealth of Orchomenus and Egyptian Thebes, or by Agamemnon's daughter. Peleus will find him a wife at home. Cattle and tripods can be won, but a life cannot come back: his mother has told him he will either die at Troy with undying glory or go home to a long, inglorious life. He tells the envoys to report to the chiefs and advises all to sail home. Phoenix may stay and sail with him, if he wishes.

ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσῃ.
hateful and to-me of-him the-gifts I-value and him in a-splinter's portion
οὐδ' εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη
not-even if to-me ten-times both and twenty-times as-much he-should-give
ὅσσα τέ οἱ νῦν ἔστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
as-much-as — to-him now is and if from-somewhere other should-come
οὐδ' ὅσ' ἐς Ὀρχομενὸν ποτινίσεται, οὐδ' ὅσα Θήβας
nor as-much-as to Orchomenus comes-in nor as-much-as Thebes
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
Egyptian where most houses in possessions lie
αἵ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστας
which and hundred-gated are two-hundred and through each

ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν·
men go-out with horses and chariots
οὐδ' εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε,
not-even if to-me as-much he-should-give as sand both dust and
οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει' Ἀγαμέμνων,
not-even — so still the-heart my would-persuade Agamemnon
πρίν γ' ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
before indeed back all to-me to-pay the-heart-grieving outrage
κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρεΐδαο,
the-girl and not I-will-marry of-Agamemnon son-of-Atreus
οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
not-even if with-golden Aphrodite in-beauty she-should-vie
ἔργα δ' Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι·
in-works and with-Athena flashing-eyed should-match
οὐδέ μιν ὣς γαμέω· ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω,
not-even her so will-I-marry he and of-the-Achaeans another let-him-choose
ὅς τις οἱ τ' ἐπέοικε καὶ ὃς βασιλεύτερός ἐστιν.
who any him — suits and who more-kingly is
ἤν γὰρ δή με σαῶσι θεοὶ καὶ οἴκαδ' ἵκωμαι,
if for indeed me save the-gods and home I-come
Πηλεύς θήν μοι ἔπειτα γυναῖκά γε μάσσεται αὐτός.
Peleus surely for-me then a-wife indeed will-seek himself
πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν' Ἑλλάδα τε Φθίην τε,
many Achaean-women are through Hellas both Phthia and
κοῦραι ἀριστήων, οἵ τε πτολίεθρα ῥύονται,
daughters of-chieftains who — citadels protect
τάων ἥν κ' ἐθέλωμι φίλην ποιήσομ' ἄκοιτιν.
of-them whichever — I-wish dear I-will-make wife
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
there and to-me very greatly was-eager the-heart proud

γήμαντα μνηστὴν ἄλοχον, ἐϊκυῖαν ἄκοιτιν,
having-married a-wooed wife fitting bedfellow
κτήμασι τέρπεσθαι τὰ γέρων ἐκτήσατο Πηλεύς·
in-the-possessions to-take-delight which the-old-man acquired Peleus
οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον οὐδ' ὅσα φασὶν
not for to-me of-life equal-in-worth nor as-much-as they-say
Ἴλιον ἐκτῆσθαι, εὖ ναιόμενον πτολίεθρον,
Ilium to-have-possessed well inhabited citadel
τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
the before in peace before came the-sons of-the-Achaeans
οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει,
nor as-much-as stone the-threshold of-the-archer within holds
Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσῃ.
of-Phoebus Apollo Pytho in rocky
ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
to-be-carried-off indeed for — cattle and stout sheep
κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα·
to-be-gotten and tripods both and of-horses tawny heads
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε ληϊστὴ
of-a-man and the-life back to-come neither to-be-carried-off
οὔθ' ἁλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
nor to-be-taken when then — it-has-passed the-fence of-the-teeth
μήτηρ γάρ τέ μέ φησι θεὰ Θέτις ἀργυρόπεζα
mother for — me says the-goddess Thetis silver-footed
διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε.
two-fold fates to-carry(-me) of-death to-the-end
εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
if indeed — here staying of-the-Trojans the-city I-fight-around
ὥλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
is-lost indeed for-me the-return but glory imperishable will-be

εἰ δέ κεν οἴκαδ' ἵκωμι φίλην ἐς πατρίδα γαῖαν,
if and — home I-come dear to native land
ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
is-lost for-me the-glory noble for long and for-me the-life
ἔσσεται, οὐδέ κέ μ' ὦκα τέλος θανάτοιο κιχείη.
will-be nor — me quickly the-end of-death would-overtake
καὶ δ' ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην
and also — the others I would-advise
οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
home to-sail-away since no-longer you-will-find the-end
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἔθεν εὐρύοπα Ζεὺς
of-Ilium steep very for over-it far-seeing Zeus
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
hand his-own has-held-over have-taken-courage and the-people
ἀλλ' ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
but you indeed going to-the-chieftains of-the-Achaeans
ἀγγελίην ἀπόφασθε — τὸ γὰρ γέρας ἐστὶ γερόντων —
the-message declare this for the-prize is of-the-elders
ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
so-that another they-may-devise in mind plan better
ἥ κέ σφιν νῆάς τε σαῷ καὶ λαὸν Ἀχαιῶν
which — for-them the-ships both may-save and the-people of-the-Achaeans
νηυσὶν ἔπι γλαφυρῇς, ἐπεὶ οὔ σφισιν ἥδε γ' ἑτοίμη,
the-ships at hollow since not for-them this indeed ready
ἣν νῦν ἐφράσσαντο ἐμεῦ ἀπομηνίσαντος·
which now they-devised I having-raged-apart
Φοῖνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω,
Phoenix and here beside us staying let-him-lie-down
ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
so-that me in ships dear to native-land he-may-follow

αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔ τί μιν ἄξω."
tomorrow if he-wishes by-force and not at-all him I-will-take

IX.7 · PHOENIX'S APPEAL

Phoenix, weeping, refuses to be left behind. Peleus sent him to teach young Achilles to be a speaker and a doer of deeds. At his mother's urging he slept with his father Amyntor's concubine, and his father cursed him with childlessness. He escaped to Phthia, where Peleus received him and he reared Achilles on his knees. Even gods can be turned, and the Prayers, Zeus's lame daughters, ask him to send Folly after the man who refuses them. Agamemnon now sends the men Achilles loves best.

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
So he-spoke they and then all silent became in-silence
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀπέειπεν·
the-word admiring very for mightily he-refused
ὀψὲ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ
late and indeed spoke-among the-old-man horse-driving Phoenix
δάκρυ' ἀναπρήσας· περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν·
tears bursting-forth greatly for he-feared for-the-ships of-the-Achaeans
"εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
if indeed truly return indeed in mind glorious Achilles
βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι
you-lay nor at-all altogether to-ward-off from-the-ships swift
πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
fire are-you-willing destructive since anger has-fallen-on the-heart

πῶς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην
how — then from you dear child here could-I-be-left
οἷος; σοὶ δέ μ᾽ ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς
alone to-you and me sent the-old-man horse-driving Peleus
ἤματι τῷ ὅτε σ᾽ ἐκ Φθίης Ἀγαμέμνονι πέμπε
on-day that when you from Phthia to-Agamemnon he-sent
νήπιον, οὔ πω εἰδόθ᾽ ὁμοιΐου πολέμοιο, 440
a-child not yet knowing of-leveling war
οὐδ᾽ ἀγορέων, ἵνα τ᾽ ἄνδρες ἀριπρεπέες τελέθουσι.
nor of-assemblies where — men preeminent become
τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
therefore me he-sent-forth to-teach these-things all
μύθων τε ῥητῆρ᾽ ἔμεναι πρηκτῆρά τε ἔργων.
of-words both a-speaker to-be a-doer and of-deeds
ὡς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο, φίλον τέκος, οὐκ ἐθέλοιμι
so — then from you dear child not would-I-wish
λείπεσθ᾽, οὐδ᾽ εἴ κέν μοι ὑποσταίη θεὸς αὐτὸς 445
to-be-left not-even if — to-me should-promise a-god himself
γῆρας ἀποξύσας θήσειν νέον ἡβώοντα,
old-age scraping-off to-make(-me) new being-young
οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα
as when first I-left Hellas of-fair-women
φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο,
fleeing the-quarrels of-father Amyntor son-of-Ormenus
ὅς μοι παλλακίδος περιχώσατο καλλικόμοιο,
who with-me over-a-concubine was-angered lovely-haired
τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ᾽ ἄκοιτιν, 450
whom himself he-loved dishonored and his-wife

μητέρ᾽ ἐμήν· ἡ δ᾽ αἰὲν ἐμὲ λισσέσκετο γούνων
mother my she and always me begged by-the-knees
παλλακίδι προμιγῆναι, ἵν᾽ ἐχθήρειε γέροντα.
with-the-concubine to-lie-first so-that she-might-hate the-old-man
τῇ πιθόμην καὶ ἔρεξα· πατὴρ δ᾽ ἐμὸς αὐτίκ᾽ ὀϊσθεὶς
her I-obeyed and did(-it) father and my at-once suspecting
πολλὰ κατηρᾶτο, στυγερὰς δ᾽ ἐπεκέκλετ᾽ Ἐρινῦς,
much cursed hateful and called-on the-Erinyes
μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν
not ever on-knees his-own to-set a-dear son
ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ᾽ ἐτέλειον ἐπαρὰς
from me born the-gods and fulfilled the-curses
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια.
Zeus both of-the-underworld and dread Persephone
ἔνθ᾽ ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ᾽ ἐν φρεσὶ θυμὸς
then to-me no-longer altogether was-restrained in mind the-heart
πατρὸς χωομένοιο κατὰ μέγαρα στρωφᾶσθαι.
of-the-father being-angered through the-halls to-go-about
ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες
truly indeed many kinsmen and cousins around being
αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισι,
there beseeching held(-me)-back in halls
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
many and stout sheep and rolling-gaited crooked-horned cattle
ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ
they-slaughtered many and swine swelling with-fat
εὐόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο,
singeing were-stretched through the-flame of-Hephaestus
πολλὸν δ᾽ ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.
much and from jars wine was-drunk of-that old-man

εἰνάνυχες δέ μοι ἀμφ᾽ αὐτῷ παρὰ νύκτας ἴαυον·
nine-nights and me around myself through nights they-slept
οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδέ ποτ᾽ ἔσβη
they indeed taking-turns watches kept nor ever was-quenched
πῦρ, ἕτερον μὲν ὑπ᾽ αἰθούσῃ εὐερκέος αὐλῆς,
fire one indeed under the-portico of-the-well-fenced court
ἄλλο δ᾽ ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων.
another and in the-porch before of-the-chamber the-doors
ἀλλ᾽ ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή,
but when indeed the-tenth to-me came night dark
καὶ τότ᾽ ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
and then I of-the-chamber the-doors closely fitted
ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἕρκίον αὐλῆς
breaking went-out and leapt-over the-fence of-the-court
ῥεῖα, λαθὼν φύλακάς τ᾽ ἄνδρας δμῳάς τε γυναῖκας.
easily escaping-notice-of the-watchmen both men slave-women and women
φεῦγον ἔπειτ᾽ ἀπάνευθε δι᾽ Ἑλλάδος εὐρυχόροιο,
I-fled then far-off through Hellas spacious
Φθίην δ᾽ ἐξικόμην ἐριβώλακα, μητέρα μήλων,
Phthia and I-reached deep-soiled mother of-flocks
ἐς Πηλῆα ἄναχθ᾽· ὁ δέ με πρόφρων ὑπέδεκτο,
to Peleus lord he and me readily received
καί μ᾽ ἐφίλησ᾽ ὡς εἴ τε πατὴρ ὃν παῖδα φιλήσῃ
and me loved as if — a-father his-own son loves
μοῦνον τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσι,
only late-born many over possessions
καί μ᾽ ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν·
and me wealthy he-made much and to-me granted people
ναῖον δ᾽ ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων.
I-dwelt and on-the-border of-Phthia over-the-Dolopes ruling

καί σε τοσοῦτον ἔθηκα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
and you so-great I-made to-the-gods like Achilles
ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ
from heart loving(-you) since not you-were-willing with another
οὔτ' ἐς δαῖτ' ἰέναι οὔτ' ἐν μεγάροισι πάσασθαι,
either to a-feast to-go or in halls to-eat
πρίν γ' ὅτε δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνεσσι καθίσσας
before indeed when indeed you on my I knees having-set
ὄψου τ' ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών.
with-meat — I-had-fed cutting-first and wine holding-to(-you)
πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
often my you-wetted on breast the-tunic
οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.
wine spitting-out in childishness hard
ὣς ἐπὶ σοὶ μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα,
so for you very many-things I-suffered and many-things I-toiled
τὰ φρονέων ὅ μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον
this thinking that to-me not at-all the-gods offspring would-accomplish
ἐξ ἐμεῦ· ἀλλὰ σὲ παῖδα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ
from me but you as-son to-the-gods like Achilles
ποιεύμην, ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς.
I-made so-that for-me some-day shameful ruin you-may-ward-off
ἀλλ', Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
but Achilles subdue heart great nor at-all you it-is-needful
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,
pitiless heart to-have can-be-turned and — even the-gods themselves
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
of-whom indeed also greater the-excellence honor both might and

καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι
and indeed them with-offerings and with-vows gentle
λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ᾽ ἄνθρωποι
with-libation both savor and turn-aside men
λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.
praying when — any transgresses and errs
καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο
even for — Prayers are of-Zeus daughters great
χωλαί τε ῥυσαί τε παραβλῶπές τ᾽ ὀφθαλμώ,
lame both wrinkled and squinting and in-eyes
αἵ ῥά τε καὶ μετόπισθ᾽ Ἄτης ἀλέγουσι κιοῦσαι.
who then — even behind of-Folly take-care going
ἡ δ᾽ Ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας
she and Folly strong both and sound-of-foot because all
πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ᾽ αἶαν
far she-outruns comes-first and — all over the-earth
βλάπτουσ᾽ ἀνθρώπους· αἱ δ᾽ ἐξακέονται ὀπίσσω.
harming men they and heal(-it) after
ὃς μέν τ᾽ αἰδέσεται κούρας Διὸς ἅσσον ἰούσας,
whoever indeed — reveres the-daughters of-Zeus nearer coming
τὸν δὲ μέγ᾽ ὤνησαν καί τ᾽ ἔκλυον εὐχομένοιο·
him indeed greatly they-helped and — they-heard(-him) praying
ὃς δέ κ᾽ ἀνήνηται καί τε στερεῶς ἀποείπῃ,
whoever and — refuses and — stubbornly rejects(-them)
λίσσονται δ᾽ ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι
they-pray and then they indeed Zeus son-of-Cronus going(-to-him)
τῷ Ἄτην ἅμ᾽ ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτείσῃ.
for-him Folly together to-follow so-that harmed he-may-pay

ἀλλ᾽, Ἀχιλεῦ, πόρε καὶ σὺ Διὸς κούρῃσιν ἔπεσθαι
but Achilles grant also you of-Zeus to-the-daughters to-attend
τιμήν, ἥ τ᾽ ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.
honor which — of-others indeed bends the-mind noble
εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ᾽ ὄπισθ᾽ ὀνομάζοι
if indeed for not gifts he-brought the(-others) and hereafter should-name
Ἀτρεΐδης, ἀλλ᾽ αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι,
the-son-of-Atreus but always violently was-angry
οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀπορρίψαντα κελοίμην
not — I-indeed you wrath having-cast-off would-bid
Ἀργείοισιν ἀμυνέμεναι χατέουσί περ ἔμπης·
the-Argives to-defend in-need though nevertheless
νῦν δ᾽ ἅμα τ᾽ αὐτίκα πολλὰ διδοῖ, τὰ δ᾽ ὄπισθεν ὑπέστη,
now and together — at-once many he-gives the(-others) and hereafter promised
ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους
men and to-beseech(-you) he-has-sent-forth the-best
κρινάμενος κατὰ λαὸν Ἀχαιϊκόν, οἵ τε σοὶ αὐτῷ
choosing(-them) through the-people Achaean who — to-you yourself
φίλτατοι Ἀργείων· τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς
dearest of-the-Argives of-whom not you indeed the-speech shame
μηδὲ πόδας· πρὶν δ᾽ οὔ τι νεμεσσητὸν κεχολῶσθαι.
nor feet before and not at-all blameworthy to-be-angry

Phoenix tells the story of Meleager. When Artemis sent a boar against Calydon, Meleager killed it, and the Curetes and Aetolians fought over its head and hide. Angered by his mother's curse over his uncle's death, he lay apart, refusing the elders' offer of land and the pleas of his father, his mother, his sisters, and his friends. He came out only when the Curetes were burning the town and his wife Cleopatra described a captured city's fate, and then he received no gifts. Phoenix urges Achilles to come while the gifts are offered.

οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
so also of-the before we-have-heard the-glories of-men
ἡρώων, ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι·
of-heroes when — any violent anger should-come-upon
δωρητοί τε πέλοντο παράρρητοί τ' ἐπέεσσι.
open-to-gifts both they-were persuadable and by-words
μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ τι νέον γε,
I-remember this deed I of-old not at-all new indeed
ὡς ἦν· ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
how it-was among and you I-will-tell all friends
Κουρῆτές τε μάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι
the-Curetes and fought and Aetolians steadfast-in-battle
ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλους ἐνάριζον,
around the-city Calydon and each-other were-slaying
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς,
the-Aetolians indeed defending Calydon lovely
Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες Ἄρηϊ.
the-Curetes and to-sack eager in-war
καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσε,
even for for-them an-evil golden-throned Artemis roused

χωσαμένη ὅ οἱ οὔ τι θαλύσια γουνῷ ἀλωῆς
angered because to-her not at-all harvest-offerings on-the-hill of-the-vineyard
Οἰνεὺς ῥέξ· ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβας,
Oeneus made others and gods feasted-on hecatombs
οἴῃ δ' οὐκ ἔρρεξε Διὸς κούρῃ μεγάλοιο.
to-her-alone and not he-offered of-Zeus to-the-daughter great
ἢ λάθετ' ἢ οὐκ ἐνόησεν· ἀάσατο δὲ μέγα θυμῷ.
either he-forgot or not he-noticed was-blinded and greatly in-heart
ἡ δὲ χολωσαμένη δῖον γένος ἰοχέαιρα
she and angered the-divine offspring arrow-pouring
ὦρσεν ἔπι χλούνην σὺν ἄγριον ἀργιόδοντα,
roused against(-them) a-solitary boar wild white-tusked
ὃς κακὰ πόλλ' ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν·
who evils many used-to-do being-wont of-Oeneus the-vineyard
πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
many and he indeed root-and-all on-the-ground threw trees tall
αὐτῇσιν ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων.
with-the-very roots and with-the-very blossoms of-fruit
τὸν δ' υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος,
him and the-son of-Oeneus killed Meleager
πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας
of-many from cities hunting men having-gathered
καὶ κύνας· οὐ μὲν γάρ κε δάμη παύροισι βροτοῖσι·
and dogs not indeed for — would-he-have-been-subdued by-few mortals
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
so-great he-was many and on-the-pyre he-made-mount grievous
ἡ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀϋτήν,
she and around him put great clamor and battle-cry
ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι,
around of-the-boar the-head and the-hide shaggy

Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
of-the-Curetes both between and of-the-Aetolians great-hearted
ὄφρα μὲν οὖν Μελέαγρος ἀρηΐφιλος πολέμιζε,
while indeed then Meleager dear-to-Ares fought
τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν, οὐδ' ἐδύναντο
so-long and for-the-Curetes badly it-went nor were-they-able
τείχεος ἔκτοσθεν μίμνειν πολέες περ ἐόντες·
the-wall outside to-hold-their-ground many though being
ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων
but when indeed Meleager entered anger which — even of-others
οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
swells in breasts the-mind shrewdly though of-those-thinking
ἤτοι ὁ μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ
truly he with-mother dear Althaea angered at-heart
κεῖτο παρὰ μνηστῇ ἀλόχῳ, καλῇ Κλεοπάτρῃ,
lay beside wooed wife fair Cleopatra
κούρῃ Μαρπήσσης καλλισφύρου Εὐηνίνης
daughter of-Marpessa fair-ankled daughter-of-Evenus
Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν
of-Idas and who mightiest of-earthly was men
τῶν τότε — καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
of-those then and then of-the-lord against took-up the-bow
Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης·
of-Phoebus Apollo fair-ankled for-the-sake of-the-bride
τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
her and then in halls father and queenly mother
Ἀλκυόνην καλέεσκον ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτῆς
Alcyone used-to-call by-name because then of-her
μήτηρ ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα
the-mother of-the-halcyon much-mourning the-fate having

κλαῖεν ὅ μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων —
wept because her the-far-worker carried-off Phoebus Apollo
τῇ ὅ γε παρκατέλεκτο χόλον θυμαλγέα πέσσων,
beside-her he indeed lay anger heart-grieving nursing
ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι
from the-curses of-mother angered who then to-the-gods
πόλλ' ἀχέουσ' ἠρᾶτο κασιγνήτοιο φόνοιο,
much grieving prayed for-the-brother's slaying
πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία
much and also the-earth much-nourishing with-hands beat
κικλήσκουσ' Ἀΐδην καὶ ἐπαινὴν Περσεφόνειαν,
calling-on Hades and dread Persephone
πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι,
forward kneeling were-wet and with-tears the-bosoms
παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Ἐρινὺς
to-the-son to-give death her and walking-in-mist the-Erinys
ἔκλυεν ἐξ Ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα.
heard from Erebus implacable heart having
τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει
of-them and soon around the-gates din and thud arose
πύργων βαλλομένων· τὸν δὲ λίσσοντο γέροντες
of-the-towers being-struck him and besought the-elders
Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους,
of-the-Aetolians they-sent and of-the-gods the-priests best
ἐξελθεῖν καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον·
to-come-out and to-defend(-them) promising great gift
ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς,
where richest the-plain of-Calydon lovely
ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι
there him they-bade a-precinct very-fair to-choose

πεντηκοντόγυον, τὸ μὲν ἥμισυ οἰνοπέδοιο,
of-fifty-acres it indeed half of-vineyard
ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.
half and bare plowland of-the-plain to-cut-off
πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεὺς
much and him besought the-old-man horse-driving Oeneus
οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο
the-threshold having-stepped-on of-the-high-roofed chamber
σείων κολλητὰς σανίδας, γουνούμενος υἱόν·
shaking the-joined doors beseeching the-son
πολλὰ δὲ τόν γε κασίγνηται καὶ πότνια μήτηρ
much and him indeed sisters and queenly mother
ἐλλίσσονθ'· ὁ δὲ μᾶλλον ἀναίνετο· πολλὰ δ' ἑταῖροι,
begged he and the-more refused many and comrades
οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων·
who to-him most-cherished and dearest were of-all
ἀλλ' οὐδ' ὣς τοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον,
but not-even so his heart in breast did-they-persuade
πρίν γ' ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο, τοὶ δ' ἐπὶ πύργων
before indeed when indeed the-chamber thickly was-pelted they and on the-towers
βαῖνον Κουρῆτες καὶ ἐνέπρηθον μέγα ἄστυ.
mounted the-Curetes and burned the-great town
καὶ τότε δὴ Μελέαγρον ἐϋζωνος παράκοιτις
and then indeed Meleager the-well-girdled wife
λίσσετ' ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα
besought lamenting and to-him recounted all
κήδε', ὅσ' ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώῃ·
the-sorrows as-many-as to-men come of-whom the-town is-taken
ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
the-men indeed they-kill the-city and — fire levels

τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.
children and — others lead-away deep-girdled and women
τοῦ δ' ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα,
of-him and was-stirred the-heart hearing evil deeds
βῆ δ' ἰέναι, χροΐ δ' ἔντε' ἐδύσετο παμφανόωντα.
he-went and to-go on-flesh and the-arms he-put-on all-shining
ὣς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ
so he indeed from-the-Aetolians warded-off the-evil day
εἴξας ᾧ θυμῷ· τῷ δ' οὐκέτι δῶρ' ἐτέλεσσαν
yielding to-his-own heart to-him and no-longer the-gifts they-fulfilled
πολλά τε καὶ χαρίεντα, κακὸν δ' ἤμυνε καὶ αὖτως.
many both and graceful evil and he-warded-off even so
ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων
but you not for-me these-things think in-mind nor you a-divinity
ἐνταῦθα τρέψειε, φίλος· κάκιον δέ κεν εἴη
there may-turn friend worse and — it-would-be
νηυσὶν καιομένῃσιν ἀμυνέμεν· ἀλλ' ἐπὶ δώρων
for-the-ships burning to-defend but for gifts
ἔρχεο· ἶσον γάρ σε θεῷ τείσουσιν Ἀχαιοί.
come equally for you to-a-god will-honor the-Achaeans
εἰ δέ κ' ἄτερ δώρων πόλεμον φθισήνορα δύῃς,
if and — without gifts war man-destroying you-enter
οὐκέθ' ὁμῶς τιμῆς ἔσεαι πόλεμόν περ ἀλαλκών."
no-longer alike in-honor will-you-be war though having-warded-off

Achilles tells Phoenix not to take Agamemnon's part, and invites him to stay the night. Ajax tells Odysseus it is time to go: men accept blood money even for a brother's death, but Achilles is pitiless over one girl. Achilles answers that he will not fight until Hector reaches the Myrmidons' huts and ships. Phoenix stays behind. Odysseus reports the refusal to Agamemnon. Diomedes says Agamemnon should never have begged him, and that they should rest and fight at dawn.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and answering addressed in-feet swift Achilles
"Φοῖνιξ, ἄττα γεραιέ, διοτρεφές, οὔ τί με ταύτης
Phoenix father old Zeus-nurtured not at-all me of-this
χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ,
need honor I-think and to-have-been-honored by-Zeus' dispensation
ἥ μ' ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰς ὅ κ' ἀϋτμὴ
which me will-hold beside ships curved until the-time — breath
ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ' ὀρώρῃ. 610
in breast remains and for-me dear knees are-astir
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
another and to-you I-will-say you and in mind lay(-it) your
μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
not my confound heart lamenting and grieving
Ἀτρεΐδῃ ἥρωϊ φέρων χάριν· οὐδέ τί σε χρὴ
for-the-son-of-Atreus hero bearing a-favor nor at-all you it-is-needful
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
him to-love so-that not to-me you-become-hateful loving(-you)
καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν ὅς κ' ἐμὲ κήδῃ· 615
fair for-you with me him to-vex who — me vexes
ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς.
equally with-me be-king and half share of-honor

οὗτοι δ᾽ ἀγγελέουσι, σὺ δ᾽ αὐτόθι λέξεο μίμνων
these and will-take-the-message you and there lie-down staying
εὐνῇ ἔνι μαλακῇ· ἅμα δ᾽ ἠοῖ φαινομένηφι
bed in soft with and dawn appearing
φρασσόμεθ᾽ ἤ κε νεώμεθ᾽ ἐφ᾽ ἡμέτερ᾽ ἦ κε μένωμεν.᾽᾽
we-will-consider whether — we-return to ours or — stay
620 Ἦ, καὶ Πατρόκλῳ ὅ γ᾽ ἐπ᾽ ὀφρύσι νεῦσε σιωπῇ
He-spoke and to-Patroclus he indeed with brows nodded in-silence
Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα
for-Phoenix to-spread thick bed so-that most-quickly
ἐκ κλισίης νόστοιο μεδοίατο· τοῖσι δ᾽ ἄρ᾽ Αἴας
from the-hut of-return they-might-bethink-themselves among-them and then Ajax
ἀντίθεος Τελαμωνιάδης μετὰ μῦθον ἔειπε·
godlike son-of-Telamon among word spoke
᾽᾽διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
625 ἴομεν· οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
let-us-go not for to-me it-seems of-the-word the-end
τῇδέ γ᾽ ὁδῷ κρανέεσθαι· ἀπαγγεῖλαι δὲ τάχιστα
on-this indeed journey to-be-accomplished to-report and most-quickly
χρὴ μῦθον Δαναοῖσι καὶ οὐκ ἀγαθόν περ ἐόντα,
it-is-needful the-word to-the-Danaans even not good though being
οἵ που νῦν ἕαται ποτιδέγμενοι. αὐτὰρ Ἀχιλλεὺς
who surely now sit waiting but Achilles
ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν,
savage in breast has-made great-hearted heart
630 σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων
cruel nor does-he-turn-to the-friendship of-comrades
τῆς ᾗ μιν παρὰ νηυσὶν ἐτίομεν ἔξοχον ἄλλων,
that with-which him beside the-ships we-honored outstanding of-others

νηλής· καὶ μέν τίς τε κασιγνήτοιο φονῆος
pitiless and indeed someone — from-a-brother's slayer
ποινὴν ἢ οὗ παιδὸς ἐδέξατο τεθνηῶτος·
a-blood-price or for-his-own son has-received dead
καί ῥ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτείσας,
and then he indeed in the-land stays there much having-paid
τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ
of-him and — is-restrained the-heart and spirit proud
ποινὴν δεξαμένῳ· σοὶ δ' ἄληκτόν τε κακόν τε
the-blood-price having-received in-you and unceasing both evil and
θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν εἵνεκα κούρης
heart in breast the-gods have-put for-the-sake-of a-girl
οἴης· νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἕξοχ' ἀρίστας,
one now and to-you seven we-offer outstanding best
ἄλλα τε πόλλ' ἐπὶ τῇσι· σὺ δ' ἵλαον ἔνθεο θυμόν,
others and many besides them you and gracious put heart
αἴδεσσαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοί εἰμεν
respect and the-roof under-your-roof and to-you we-are
πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων
of-the-multitude from the-Danaans we-are-eager and to-you outstanding of-others
κήδιστοί τ' ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί."
most-cared-for both to-be and dearest as-many-as Achaeans

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and answering addressed in-feet swift Achilles
"Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
Ajax Zeus-born Telamonian lord of-the-people
πάντα τί μοι κατὰ θυμὸν ἐείσαο μυθήσασθαι·
all-things somewhat to-me after heart you-seem to-have-spoken

ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότε κείνων
but my swells heart with-anger whenever those-things
μνήσομαι, ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
I-recall how me foolishly among the-Argives treated
Ἀτρεΐδης, ὡς εἴ τιν' ἀτίμητον μετανάστην.
the-son-of-Atreus as if some dishonored vagabond
ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·
but you go and the-message declare
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
not for before of-war shall-I-be-mindful bloody
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
before indeed the-son of-Priam wise Hector noble
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
of-the-Myrmidons to — the-huts and ships come
κτείνοντ' Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας.
killing the-Argives down and to-burn with-fire the-ships
ἀμφὶ δέ τοι τῇ ἐμῇ κλισίῃ καὶ νηΐ μελαίνῃ
around and you-know the my hut and ship black
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω."
Hector even eager for-battle to-be-held-back I-think
Ὣς ἔφαθ', οἱ δὲ ἕκαστος ἐλὼν δέπας ἀμφικύπελλον
So he-spoke they and each taking a-cup double-handled
σπείσαντες παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ' Ὀδυσσεύς.
having-poured-libation along the-ships went back led and Odysseus
Πάτροκλος δ' ἑτάροισιν ἰδὲ δμωῇσι κέλευσε
Patroclus and the-comrades and the-handmaids bade
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα.
for-Phoenix to-spread thick bed as quickly-as-possible
αἱ δ' ἐπιπειθόμεναι στόρεσαν λέχος ὡς ἐκέλευσε,
they and obeying spread the-bed as he-bade

κώεά τε ῥῆγός τε λίνοιό τε λεπτὸν ἄωτον.
fleeces both rug and of-linen and the-fine nap
ἔνθ' ὁ γέρων κατέλεκτο καὶ Ἠῶ δῖαν ἔμιμνεν.
there the old-man lay-down and Dawn bright awaited
αὐτὰρ Ἀχιλλεὺς εὖδε μυχῷ κλισίης εὐπήκτου·
but Achilles slept in-the-recess of-the-hut well-built
τῷ δ' ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγε,
by-him and then lay-down a-woman whom from-Lesbos he-had-brought
Φόρβαντος θυγάτηρ, Διομήδη καλλιπάρῃος.
of-Phorbas daughter Diomede fair-cheeked
Πάτροκλος δ' ἑτέρωθεν ἐλέξατο· πὰρ δ' ἄρα καὶ τῷ
Patroclus and on-the-other-side lay-down beside and then also him
Ἶφις ἐϋζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεὺς
Iphis well-girdled whom to-him gave noble Achilles
Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆος πτολίεθρον.
Scyros having-taken steep of-Enyeus the-citadel
Οἱ δ' ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρεΐδαο γένοντο,
They and when indeed the-huts in of-the-son-of-Atreus came
τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν
them indeed then with-golden cups the-sons of-the-Achaeans
δειδέχατ' ἄλλοθεν ἄλλος ἀνασταδόν, ἔκ τ' ἐρέοντο·
pledged from-one-side another standing-up out and questioned
πρῶτος δ' ἐξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
first and asked lord of-men Agamemnon
"εἶπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
tell come me O much-praised Odysseus great glory of-the-Achaeans
ἦ ῥ' ἐθέλει νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ,
whether then he-wishes for-the-ships to-ward-off consuming fire
ἦ ἀπέειπε, χόλος δ' ἔτ' ἔχει μεγαλήτορα θυμόν;"
or has-he-refused anger and still holds the-great-hearted heart

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Him and in-turn addressed much-enduring noble Odysseus
" Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
son-of-Atreus most-glorious lord of-men Agamemnon
κεῖνός γ' οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ' ἔτι μᾶλλον
that-one indeed not wishes to-quench the-anger but still more
πιμπλάνεται μένεος, σὲ δ' ἀναίνεται ἠδὲ σὰ δῶρα.
is-filled with-fury you and he-refuses and your gifts
αὐτόν σε φράζεσθαι ἐν Ἀργείοισιν ἄνωγεν
yourself you to-consider among the-Argives he-bade
ὅππως κεν νῆάς τε σαῷς καὶ λαὸν Ἀχαιῶν·
how — the-ships both you-may-save and the-people of-the-Achaeans
αὐτὸς δ' ἠπείλησεν ἅμ' ἠοῖ φαινομένηφι
himself and threatened with dawn appearing
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας.
the-ships well-benched to-the-sea to-drag curved
καὶ δ' ἂν τοῖς ἄλλοισιν ἔφη παραμυθήσασθαι
and also — the others he-said to-advise
οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
home to-sail-away since no-longer you-will-find the-end
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
of-Ilium steep very for over-it far-seeing Zeus
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
hand his-own has-held-over have-taken-courage and the-people
ὣς ἔφατ'· εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,
so he-spoke are also these this to-tell who me followed
Αἴας καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Ajax and heralds two prudent both
Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο, ὥς γὰρ ἀνώγει,
Phoenix and there the old-man lay-down so for he-bade

ὄφρα οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ᾽ ἕπηται
so-that him in ships dear to native-land he-may-follow
αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ᾽ οὔ τί μιν ἄξει.᾽᾽
tomorrow if he-wishes by-force and not at-all him will-he-take
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
So he-spoke they and then all silent became in-silence
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε.
the-word admiring very for mightily he-spoke
δὴν δ᾽ ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
long and speechless they-were dejected the-sons of-the-Achaeans
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
late and indeed spoke-among at-the-war-cry good Diomedes
᾽᾽ Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
son-of-Atreus most-glorious lord of-men Agamemnon
μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλεΐωνα,
not you-ought to-have-besought blameless the-son-of-Peleus
μυρία δῶρα διδούς· ὁ δ᾽ ἀγήνωρ ἐστὶ καὶ ἄλλως·
countless gifts giving he and haughty is even otherwise
νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας.
now in-turn him much more in-haughtiness you-have-set
ἀλλ᾽ ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἴῃσιν,
but truly him indeed let-us-let(-be) whether — he-goes
ἤ κε μένῃ· τότε δ᾽ αὖτε μαχήσεται, ὁππότε κέν μιν
or — stays then and in-turn he-will-fight whenever — him
θυμὸς ἐνὶ στήθεσσιν ἀνώγῃ καὶ θεὸς ὄρσῃ.
the-heart in breast bids and a-god rouses
ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
but come as — I say let-us-obey all

νῦν μὲν κοιμήσασθε τεταρπόμενοι φίλον ἦτορ
now indeed go-to-sleep having-satisfied dear heart
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή·
with-bread and wine this for might is and courage
αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλος Ἠώς,
but when — appears fair rosy-fingered Dawn
καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους
swiftly before the-ships to-hold people both and horses
ὀτρύνων, καὶ δ' αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι."
urging and also yourself among the-foremost to-fight
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνησαν βασιλῆες,
So he-spoke they and then all approved kings
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
the-word admiring of-Diomedes horse-taming
καὶ τότε δὴ σπείσαντες ἔβαν κλισίηνδε ἕκαστος,
and then indeed having-poured-libation went to-the-hut each
ἔνθα δὲ κοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο.
there and lay-down and of-sleep the-gift took

BOOK X

X.1 · THE SLEEPLESS KING

The other chiefs sleep, but Agamemnon lies awake, groaning as he looks at the Trojan fires and the Achaean ships. He decides to seek out Nestor and plan a defense. Menelaus, also sleepless, finds him arming and asks whether he will send a spy. Agamemnon sends him to wake Ajax and Idomeneus, and to call each man by his father's name, while he goes to Nestor. Nestor, lying beside his arms, rises on his elbow and asks who is wandering through the camp at night.

Ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν
Others indeed beside the-ships the-chieftains of-all-the-Achaeans
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
slept all-night by-soft overcome sleep
ἀλλ᾽ οὐκ Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν,
but not the-son-of-Atreus Agamemnon shepherd of-the-people
ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα.
sleep held sweet many-things in-mind pondering
ὡς δ᾽ ὅτ᾽ ἂν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο,
as and when — lightens the-husband of-Hera lovely-haired
τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν
making either much rain unspeakable or hail
ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας,
or snow when indeed — the-snow has-sprinkled the-fields
ἠέ ποθι πτολέμοιο μέγα στόμα πευκεδανοῖο,
or somewhere of-war the-great mouth bitter
ὣς πυκίν᾽ ἐν στήθεσσιν ἀναστενάχιζ᾽ Ἀγαμέμνων
so thickly in breast groaned-again-and-again Agamemnon
νειόθεν ἐκ κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός.
from-the-depths from heart trembled and his heart within

ἤτοι ὅτ' ἐς πεδίον τὸ Τρωϊκὸν ἀθρήσειε,
truly when to the-plain the Trojan he-looked
θαύμαζεν πυρὰ πολλά, τὰ καίετο Ἰλιόθι πρό,
he-marveled-at the-fires many which burned at-Ilium before
αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων.
of-pipes of-panpipes and the-sound the-din and of-men
αὐτὰρ ὅτ' ἐς νῆάς τε ἴδοι καὶ λαὸν Ἀχαιῶν,
but when to the-ships both he-looked and the-people of-the-Achaeans
πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας
many from head by-the-roots he-tore hairs
ὑψόθ' ἐόντι Διί, μέγα δ' ἔστενε κυδάλιμον κῆρ.
on-high being Zeus greatly and groaned the-glorious heart
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
this and to-him in heart best seemed counsel
Νέστορ' ἔπι πρῶτον Νηλήϊον ἐλθέμεν ἀνδρῶν,
Nestor to first son-of-Neleus to-go of-men
εἴ τινά οἱ σὺν μῆτιν ἀμύμονα τεκτήναιτο,
if some to-him with plan blameless he-might-contrive
ἥ τις ἀλεξίκακος πᾶσιν Δαναοῖσι γένοιτο.
which any averting-evil for-all the-Danaans might-be
ὀρθωθεὶς δ' ἔνδυνε περὶ στήθεσσι χιτῶνα,
having-risen-upright and he-put-on around breast the-tunic
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
feet and under shining bound fair sandals
ἀμφὶ δ' ἔπειτα δαφοινὸν ἑέσσατο δέρμα λέοντος
around and then tawny put-on the-hide of-a-lion
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ' ἔγχος.
gleaming great reaching-the-feet took and a-spear

Ὣς δ' αὔτως Μενέλαον ἔχε τρόμος — οὐδὲ γὰρ αὐτῷ
So and likewise Menelaus held trembling not-even for him
ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε — μή τι πάθοιεν
sleep on eyelids settled lest at-all they-should-suffer
Ἀργεῖοι, τοὶ δὴ ἕθεν εἵνεκα πουλὺν ἐφ' ὑγρὴν
the-Argives who indeed of-him for-the-sake much over watery(-sea)
ἦλυθον ἐς Τροίην πόλεμον θρασὺν ὁρμαίνοντες.
came to Troy war bold intending
παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε
with-a-leopard-skin indeed first back broad he-covered
ποικίλῃ, αὐτὰρ ἐπὶ στεφάνην κεφαλῇφιν ἀείρας
spotted but upon a-helmet on-his-head lifting
θήκατο χαλκείην, δόρυ δ' εἵλετο χειρὶ παχείῃ.
he-put bronze spear and took in-hand stout
βῆ δ' ἴμεν ἀνστήσων ὃν ἀδελφεόν, ὃς μέγα πάντων
went and to-go to-rouse his-own brother who greatly over-all
Ἀργείων ἤνασσε, θεὸς δ' ὣς τίετο δήμῳ.
of-the-Argives ruled a-god and like was-honored by-the-people
τὸν δ' εὗρ' ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλὰ
him and he-found around shoulders putting arms fair
νηΐ πάρα πρύμνῃ· τῷ δ' ἀσπάσιος γένετ' ἐλθών.
the-ship beside at-the-stern to-him and welcome he-was coming
τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
him first addressed at-the-war-cry good Menelaus
"τίφθ' οὕτως, ἠθεῖε, κορύσσεαι; ἦ τιν' ἑταίρων
why thus brother are-you-arming truly some of-the-comrades
ὀτρυνέεις Τρώεσσιν ἐπίσκοπον; ἀλλὰ μάλ' αἰνῶς
will-you-urge against-the-Trojans as-a-spy but very terribly
δείδω μὴ οὔ τίς τοι ὑπόσχηται τόδε ἔργον,
I-fear lest not anyone to-you will-undertake this work

ἄνδρας δυσμενέας σκοπιαζέμεν οἷος ἐπελθὼν
men hostile to-spy-on alone going
νύκτα δι᾽ ἀμβροσίην· μάλα τις θρασυκάρδιος ἔσται.”
night through ambrosial very some stout-hearted he-will-be
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
Him and answering addressed lord Agamemnon
“χρεὼ βουλῆς ἐμὲ καὶ σέ, διοτρεφὲς ὦ Μενέλαε,
need of-counsel me and you Zeus-nurtured O Menelaus
κερδαλέης, ἥ τίς κεν ἐρύσσεται ἠδὲ σαώσει
of-crafty which any — will-protect and will-save
Ἀργείους καὶ νῆας, ἐπεὶ Διὸς ἐτράπετο φρήν.
the-Argives and the-ships since of-Zeus has-turned the-mind
Ἕκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ᾽ ἱεροῖσιν·
to-Hector's then more on mind he-has-set offerings
οὐ γάρ πω ἰδόμην, οὐδ᾽ ἔκλυον αὐδήσαντος,
not for yet did-I-see nor heard speaking
ἄνδρ᾽ ἕνα τοσσάδε μέρμερ᾽ ἐπ᾽ ἤματι μητίσασθαι,
a-man one so-many grim-deeds in day devise
ὅσσ᾽ Ἕκτωρ ἔρρεξε Διΐ φίλος υἷας Ἀχαιῶν,
as-many-as Hector has-done to-Zeus dear to-the-sons of-the-Achaeans
αὔτως, οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο.
merely neither of-a-goddess son dear nor of-a-god
ἔργα δ᾽ ἔρεξ᾽ ὅσα φημὶ μελησέμεν Ἀργείοισι
deeds and he-has-done as-many-as I-say will-be-a-care to-the-Argives
δηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ μήσατ᾽ Ἀχαιούς.
long both and long-lasting so-many for evils he-devised the-Achaeans

ἀλλ᾽ ἴθι νῦν Αἴαντα καὶ Ἰδομενῆα κάλεσσον
but go now Ajax and Idomeneus summon
ῥίμφα θέων παρὰ νῆας· ἐγὼ δ᾽ ἐπὶ Νέστορα δῖον
swiftly running along the-ships I and to Nestor noble
εἶμι, καὶ ὀτρυνέω ἀνστήμεναι, αἴ κ᾽ ἐθέλῃσιν
will-go and urge(-him) to-rise if — he-wishes
ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος ἠδ᾽ ἐπιτεῖλαι.
to-go to of-the-guards holy band and to-give-orders
κείνῳ γάρ κε μάλιστα πιθοίατο· τοῖο γὰρ υἱὸς
to-him for — most they-would-obey of-him for the-son
σημαίνει φυλάκεσσι, καὶ Ἰδομενῆος ὀπάων
commands the-guards and of-Idomeneus the-companion
Μηριόνης· τοῖσιν γὰρ ἐπετράπομέν γε μάλιστα."
Meriones to-them for we-entrusted(-it) indeed most
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
Him and answered then at-the-war-cry good Menelaus
"πῶς γάρ μοι μύθῳ ἐπιτέλλεαι ἠδὲ κελεύεις;
how for me by-word do-you-enjoin and bid
αὖθι μένω μετὰ τοῖσι, δεδεγμένος εἰς ὅ κεν ἔλθῃς,
there shall-I-stay among them waiting until the-time — you-come
ἦε θέω μετὰ σ᾽ αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω;"
or run after you back when well them I-have-ordered
Τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Him and in-turn addressed lord of-men Agamemnon
"αὖθι μένειν, μή πως ἀβροτάξομεν ἀλλήλοιιν
there stay lest somehow we-miss each-other
ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι.
going many for through the-host are paths
φθέγγεο δ᾽ ᾗ κεν ἴῃσθα, καὶ ἐγρήγορθαι ἄνωχθι,
call-out and wherever — you-go and to-be-awake bid

πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον,
by-father('s-name) from lineage naming man each
πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῷ,
all honoring nor be-proud in-heart
ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὧδέ που ἄμμι
but also ourselves indeed let-us-toil so surely to-us
Ζεὺς ἐπὶ γιγνομένοισιν ἴει κακότητα βαρεῖαν."
Zeus at being-born sent misery heavy
Ὣς εἰπὼν ἀπέπεμπεν ἀδελφεὸν εὖ ἐπιτείλας·
So having-spoken he-sent-away his-brother well having-instructed(-him)
αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετὰ Νέστορα, ποιμένα λαῶν·
but he went then to-go after Nestor shepherd of-the-people
τὸν δ' εὗρεν παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
him and he-found beside — but and ship black
εὐνῇ ἔνι μαλακῇ· παρὰ δ' ἔντεα ποικίλ' ἔκειτο,
bed in soft beside and arms inlaid lay
ἀσπὶς καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια.
a-shield and two spears shining and helmet
πὰρ δὲ ζωστὴρ κεῖτο παναίολος, ᾧ ῥ' ὁ γεραιὸς
beside and the-belt lay all-gleaming with-which then the old-man
ζώννυθ', ὅτ' ἐς πόλεμον φθισήνορα θωρήσσοιτο
girded-himself when to war man-destroying he-armed
λαὸν ἄγων, ἐπεὶ οὐ μὲν ἐπέτρεπε γήραϊ λυγρῷ.
the-people leading since not indeed he-yielded to-old-age grievous
ὀρθωθεὶς δ' ἄρ' ἐπ' ἀγκῶνος, κεφαλὴν ἐπαείρας,
having-risen-upright and then on elbow head lifting
Ἀτρεΐδην προσέειπε καὶ ἐξερεείνετο μύθῳ·
the-son-of-Atreus he-addressed and questioned with-word

"τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἶος
who and this-one among the-ships through the-host come alone
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι,
night through dark when — sleep mortals other
ἠέ τιν' οὐρήων διζήμενος, ἤ τιν' ἑταίρων;
whether some of-the-mules seeking or some of-the-comrades
φθέγγεο, μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο· τίπτε δέ σε χρεώ;"
speak nor silent at me come why and you need

X.2 · NESTOR WAKES THE CHIEFS

Agamemnon tells Nestor of his anguish and asks him to come and inspect the sentries. Nestor agrees, though he blames Menelaus for leaving the work to his brother, and Agamemnon answers that Menelaus is already awake. Nestor dresses in his purple cloak and wakes Odysseus, who joins them. They find Diomedes asleep outside his hut, and Nestor stirs him with his foot. Diomedes calls the old man tireless and asks whether there are no younger men to rouse the kings.

Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Him and answered then lord of-men Agamemnon
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
O Nestor son-of-Neleus great glory of-the-Achaeans
γνώσεαι Ἀτρεΐδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
you-will-know the-son-of-Atreus Agamemnon whom beyond all
Ζεὺς ἐνέηκε πόνοισι διαμπερές, εἰς ὅ κ' ἀϋτμὴ
Zeus has-set-in toils continually until the-time — breath
ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ' ὀρώρῃ.
in breast remains and for-me dear knees are-astir

πλάζομαι ὧδ', ἐπεὶ οὔ μοι ἐπ' ὄμμασι νήδυμος ὕπνος
I-wander thus since not to-me on eyes sweet sleep
ἵζάνει, ἀλλὰ μέλει πόλεμος καὶ κήδε' Ἀχαιῶν.
settles but is-a-care the-war and the-sorrows of-the-Achaeans
αἰνῶς γὰρ Δαναῶν περιδείδια, οὐδέ μοι ἦτορ
terribly for for-the-Danaans I-fear nor to-me the-heart
ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
steadfast but I-am-distraught the-heart and my out
στηθέων ἐκθρῴσκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα.
of-the-breast leaps trembles and under the-shining limbs
ἀλλ' εἴ τι δραίνεις, ἐπεὶ οὐδὲ σέ γ' ὕπνος ἱκάνει,
but if at-all you-do since not-even you indeed sleep comes-upon
δεῦρ' ἐς τοὺς φύλακας καταβήομεν, ὄφρα ἴδωμεν,
hither to the guards let-us-go-down so-that we-may-see
μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνῳ
lest they indeed with-weariness overcome and also with-sleep
κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται.
lie-down but of-the-watch utterly altogether they-forget
δυσμενέες δ' ἄνδρες σχεδὸν ἥαται· οὐδέ τι ἴδμεν
hostile and men near sit nor at-all we-know
μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι."
lest somehow even through the-night they-be-eager to-fight
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
" Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
son-of-Atreus most-glorious lord of-men Agamemnon

οὔ θην Ἕκτορι πάντα νοήματα μητίετα Ζεὺς
not surely for-Hector all designs counselor Zeus
ἐκτελέει, ὅσα πού νυν ἐέλπεται· ἀλλά μιν οἴω
will-fulfill as-many-as surely now he-hopes but him I-think
κήδεσι μοχθήσειν καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεὺς
with-sorrows to-toil even more if — Achilles
ἐκ χόλου ἀργαλέοιο μεταστρέψῃ φίλον ἦτορ.
from anger grievous turns-back dear heart
σοὶ δὲ μάλ' ἕψομ' ἐγώ· ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους,
you and very will-follow I to and in-turn also let-us-rouse others
ἠμὲν Τυδεΐδην δουρικλυτὸν ἠδ' Ὀδυσῆα
both the-son-of-Tydeus spear-famed and Odysseus
ἠδ' Αἴαντα ταχὺν καὶ Φυλέος ἄλκιμον υἱόν.
and Ajax swift and of-Phyleus valiant son
ἀλλ' εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν,
but if some even these going-after should-call
ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα·
godlike both Ajax and Idomeneus lord
τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, οὐδὲ μάλ' ἐγγύς.
of-them for the-ships are farthest nor very near
ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
but dear though being and revered Menelaus
νεικέσω, εἴ πέρ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω,
I-will-rebuke if indeed with-me you-will-be-indignant nor will-I-hide(-it)
ὡς εὕδει, σοὶ δ' οἴῳ ἐπέτρεψεν πονέεσθαι.
how he-sleeps to-you and alone he-has-left to-toil
νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας πονέεσθαι
now he-ought among all chieftains to-toil
λισσόμενος· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός."
beseeching need for comes no-longer bearable

Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Him and in-turn addressed lord of-men Agamemnon
"ὦ γέρον, ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα·
O old-man at-other-times indeed you even to-blame(-him) I-bid
πολλάκι γὰρ μεθιεῖ τε καὶ οὐκ ἐθέλει πονέεσθαι,
often for he-slackens both and not wishes to-toil
οὔτ' ὄκνῳ εἴκων οὔτ' ἀφραδίῃσι νόοιο,
neither to-sloth yielding nor to-thoughtlessness of-mind
ἀλλ' ἐμέ τ' εἰσορόων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν.
but me both looking-to and my awaiting lead
νῦν δ' ἐμέο πρότερος μάλ' ἐπέγρετο καί μοι ἐπέστη·
now and than-me earlier very he-woke and to-me came-up
τὸν μὲν ἐγὼ προέηκα καλήμεναι οὓς σὺ μεταλλᾷς.
him indeed I sent-forth to-call whom you seek
ἀλλ' ἴομεν· κείνους δὲ κιχησόμεθα πρὸ πυλάων
but let-us-go them and we-shall-find before the-gates
ἐν φυλάκεσσ', ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέθεσθαι."
among the-guards there for for-them I-told to-gather
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
"οὕτως οὔ τίς οἱ νεμεσήσεται οὐδ' ἀπιθήσει
so not anyone him will-blame nor disobey
Ἀργείων, ὅτε κέν τιν' ἐποτρύνῃ καὶ ἀνώγῃ."
of-the-Argives when — anyone he-urges and bids
Ὣς εἰπὼν ἔνδυνε περὶ στήθεσσι χιτῶνα,
So having-spoken he-put-on around breast the-tunic
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
feet and under shining bound fair sandals

ἀμφὶ δ᾽ ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν
around and then a-cloak he-pinned purple
διπλῆν ἐκταδίην, οὔλη δ᾽ ἐπενήνοθε λάχνη.
double wide thick and on-it-grew the-nap
εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
he-took and a-valiant spear pointed with-sharp bronze
βῆ δ᾽ ἰέναι κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
went and to-go along the-ships of-the-Achaeans bronze-coated
πρῶτον ἔπειτ᾽ Ὀδυσῆα, Διὶ μῆτιν ἀτάλαντον,
first then Odysseus to-Zeus in-counsel equal
ἐξ ὕπνου ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ
from sleep woke Gerenian horseman Nestor
φθεγξάμενος· τὸν δ᾽ αἶψα περὶ φρένας ἦλυθ᾽ ἰωή,
shouting him and quickly around mind came the-voice
ἐκ δ᾽ ἦλθε κλισίης καί σφεας πρὸς μῦθον ἔειπε·
out and he-came from-the-hut and them to word spoke
“τίφθ᾽ οὕτω κατὰ νῆας ἀνὰ στρατὸν οἷοι ἀλᾶσθε
why thus along the-ships through the-host alone do-you-wander
νύκτα δι᾽ ἀμβροσίην, ὅ τι δὴ χρειὼ τόσον ἵκει;”
night through ambrosial what any indeed need so-great comes
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
“διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
not be-indignant such for grief has-overpowered the-Achaeans
ἀλλ᾽ ἕπε᾽, ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν τ᾽ ἐπέοικε
but follow so-that also another we-may-rouse whom — it-befits
βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι.”
counsels to-take-counsel whether to-flee or to-fight

Ὣς φάθ', ὁ δὲ κλισίηνδε κιὼν πολύμητις Ὀδυσσεὺς
So he-spoke he and to-the-hut going of-many-wiles Odysseus
ποικίλον ἀμφ' ὤμοισι σάκος θέτο, βῆ δὲ μετ' αὐτούς.
inlaid around shoulders shield put went and after them
βὰν δ' ἐπὶ Τυδεΐδην Διομήδεα· τὸν δ' ἐκίχανον
they-went and to the-son-of-Tydeus Diomedes him and they-found
ἐκτὸς ἀπὸ κλισίης σὺν τεύχεσιν· ἀμφὶ δ' ἑταῖροι
outside from the-hut with arms around and comrades
εὗδον, ὑπὸ κρασὶν δ' ἔχον ἀσπίδας· ἔγχεα δέ σφιν
slept under heads and they-held shields the-spears and their
ὄρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο, τῆλε δὲ χαλκὸς
upright on the-butt-spike were-driven far and bronze
λάμφ' ὥς τε στεροπὴ πατρὸς Διός· αὐτὰρ ὅ γ' ἥρως
shone like — lightning of-father Zeus but he indeed the-hero
εὗδ', ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο,
slept under and was-spread the-hide of-an-ox of-the-field
αὐτὰρ ὑπὸ κράτεσφι τάπης τετάνυστο φαεινός.
but under head a-rug was-stretched shining
τὸν παρστὰς ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ,
him standing-beside woke Gerenian horseman Nestor
λὰξ ποδὶ κινήσας, ὄτρυνέ τε νείκεσέ τ' ἄντην·
with-heel with-foot stirring(-him) urged both rebuked and face-to-face
"ἔγρεο, Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς;
wake of-Tydeus son why all-night sleep do-you-sleep
οὐκ ἀΐεις ὡς Τρῶες ἐπὶ θρωσμῷ πεδίοιο
not do-you-hear how the-Trojans on the-rise of-the-plain
ἥαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει;"
sit near the-ships little and still space holds(-them)-back

Ὣς φάθ', ὁ δ' ἐξ ὕπνοιο μάλα κραιπνῶς ἀνόρουσε,
So he-spoke he and from sleep very swiftly sprang-up
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"σχέτλιός ἐσσι, γεραιέ· σὺ μὲν πόνου οὔ ποτε λήγεις.
cruel you-are old-man you indeed from-toil not ever cease
οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν,
not now also others are younger sons of-the-Achaeans
οἵ κεν ἔπειτα ἕκαστον ἐγείρειαν βασιλήων
who — then each might-wake of-the-kings
πάντῃ ἐποιχόμενοι; σὺ δ' ἀμήχανός ἐσσι, γεραιέ."
everywhere going-about you but impossible are old-man

X.3 · THE COUNCIL AT NIGHT

Nestor sends Diomedes, the younger man, to wake Ajax and Meges. The chiefs find the sentries awake and watchful, like dogs guarding sheep. They cross the ditch and sit in council where Hector turned back. Nestor asks whether anyone will go among the Trojans to learn their plans, and promises a reward. Diomedes volunteers and asks for a companion. Many are willing, but Agamemnon tells him to choose the best man, not the highest, and Diomedes chooses Odysseus.

Τὸν δ' αὖτε προσέειπε Γερήνιος ἱππότα Νέστωρ·
Him and in-turn addressed Gerenian horseman Nestor
"ναὶ δὴ ταῦτά γε πάντα, φίλος, κατὰ μοῖραν ἔειπες.
yes indeed these-things indeed all friend according-to due you-spoke
εἰσὶν μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοὶ
there-are indeed to-me sons blameless there-are and people
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειεν·
and many of-whom — some going-about might-call(-them)

ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς.
but very great need has-overpowered the-Achaeans
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς
now for indeed for-all on a-razor's stands edge
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς ἠὲ βιῶναι.
either very grievous destruction for-the-Achaeans or to-live
ἀλλ' ἴθι νῦν Αἴαντα ταχὺν καὶ Φυλέος υἱὸν
but go now Ajax swift and of-Phyleus the-son
ἄνστησον — σὺ γάρ ἐσσι νεώτερος — εἴ μ' ἐλεαίρεις."
rouse you for are younger if me you-pity
Ὣς φάθ', ὁ δ' ἀμφ' ὤμοισιν ἑέσσατο δέρμα λέοντος
So he-spoke he and around shoulders put-on the-hide of-a-lion
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ' ἔγχος.
gleaming great reaching-the-feet took and a-spear
βῆ δ' ἰέναι, τοὺς δ' ἔνθεν ἀναστήσας ἄγεν ἥρως.
went and to-go them and thence having-roused led the-hero
Οἱ δ' ὅτε δὴ φυλάκεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
They and when indeed the-guards among gathered mingled
οὐδὲ μὲν εὗδοντας φυλάκων ἡγήτορας εὗρον,
nor indeed sleeping of-the-guards the-leaders did-they-find
ἀλλ' ἐγρηγορτὶ σὺν τεύχεσιν ἥατο πάντες.
but awake with arms sat all
ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωνται ἐν αὐλῇ
as and dogs around the-flocks keep-a-hard-watch in the-fold
θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ' ὕλην
a-beast having-heard strong-hearted which — through the-wood
ἔρχηται δι' ὄρεσφι· πολὺς δ' ὀρυμαγδὸς ἐπ' αὐτῷ
comes through the-mountains great and din over it
ἀνδρῶν ἠδὲ κυνῶν, ἀπό τέ σφισιν ὕπνος ὄλωλεν·
of-men and of-dogs from and for-them sleep has-perished

ὣς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιιν ὀλώλει
so of-them sweet sleep from the-eyelids had-perished
νύκτα φυλασσομένοισι κακήν· πεδίονδε γὰρ αἰεὶ
night guarding evil to-the-plain for always
τετράφαθ', ὁππότ' ἐπὶ Τρώων ἀΐοιεν ἰόντων.
they-were-turned whenever on of-the-Trojans they-heard coming
τοὺς δ' ὁ γέρων γήθησεν ἰδὼν θάρσυνέ τε μύθῳ
them and the old-man rejoiced seeing encouraged and with-word
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and them having-spoken words winged addressed
"οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε· μηδέ τιν' ὕπνος
so now dear children keep-watch nor any sleep
αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν."
let-seize lest a-joy we-become to-the-foes
Ὣς εἰπὼν τάφροιο διέσσυτο· τοὶ δ' ἅμ' ἕποντο
So having-spoken through-the-ditch he-rushed they and with followed
Ἀργείων βασιλῆες, ὅσοι κεκλήατο βουλήν.
of-the-Argives the-kings as-many-as had-been-called to-the-council
τοῖς δ' ἅμα Μηριόνης καὶ Νέστορος ἀγλαὸς υἱὸς
with-them and together Meriones and of-Nestor glorious son
ᾖϊσαν· αὐτοὶ γὰρ κάλεον συμμητιάασθαι.
went themselves for called(-them) to-take-counsel-with(-them)
τάφρον δ' ἐκδιαβάντες ὀρυκτὴν ἑδριόωντο
the-ditch and having-crossed-out-over dug they-sat
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος
in a-clear-space where indeed of-corpses showed-through the-ground
πιπτόντων· ὅθεν αὖτις ἀπετράπετ' ὄβριμος Ἕκτωρ
of-the-fallen whence again turned-back mighty Hector
ὀλλὺς Ἀργείους, ὅτε δὴ περὶ νὺξ ἐκάλυψεν.
destroying the-Argives when indeed around night covered

ἔνθα καθεζόμενοι ἔπε᾽ ἀλλήλοισι πίφαυσκον·
there sitting words to-each-other declared
τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
among-them and of-words began Gerenian horseman Nestor
"ὦ φίλοι, οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιθ᾽ ἑῷ αὐτοῦ
O friends not — indeed any man would-trust his-own of-himself
θυμῷ τολμήεντι μετὰ Τρῶας μεγαθύμους
in-heart daring among the-Trojans great-hearted
ἐλθεῖν, εἴ τινά που δηΐων ἕλοι ἐσχατόωντα,
to-go if any perhaps of-the-foes he-might-take at-the-edge
ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεσσι πύθοιτο,
or any perhaps also report among the-Trojans might-learn
ἅσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
what-things — they-devise among themselves whether they-are-eager
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἦε πόλινδε
there to-stay beside the-ships far-off or to-the-city
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ᾽ Ἀχαιούς.
back they-will-withdraw since they-have-subdued indeed the-Achaeans
ταῦτά κε πάντα πύθοιτο, καὶ ἂψ εἰς ἡμέας ἔλθοι
these-things — all he-might-learn and back to us come
ἀσκηθής· μέγα κέν οἱ ὑπουράνιον κλέος εἴη
unharmed great — to-him under-heaven fame would-be
πάντας ἐπ᾽ ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή·
all among men and to-him a-gift will-be noble
ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι,
as-many-as for over-the-ships hold-sway the-best

τῶν πάντων οἱ ἕκαστος ὄϊν δώσουσι μέλαιναν
of-these all to-him each a-sheep will-give black
θῆλυν ὑπόρρηνον· τῇ μὲν κτέρας οὐδὲν ὁμοῖον,
female with-a-lamb-under to-it indeed possession not-any like
αἰεὶ δ' ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι παρέσται."
always and at feasts and banquets he-will-be-present
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
So he-spoke they and then all silent became in-silence
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
to-them and also spoke at-the-war-cry good Diomedes
"Νέστορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
Nestor me urges the-heart and spirit proud
ἀνδρῶν δυσμενέων δῦναι στρατὸν ἐγγὺς ἐόντων,
of-men hostile to-enter the-host near being
Τρώων· ἀλλ' εἴ τίς μοι ἀνὴρ ἅμ' ἕποιτο καὶ ἄλλος,
of-the-Trojans but if any me man together should-follow also another
μᾶλλον θαλπωρὴ καὶ θαρσαλεώτερον ἔσται.
more comfort and bolder it-will-be
σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν
together and two going and — before one the-other has-noticed
ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴ πέρ τε νοήσῃ,
how profit may-be alone and if indeed — he-notices
ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις."
but — his shorter — mind slight and — wit
Ὣς ἔφαθ', οἱ δ' ἔθελον Διομήδεϊ πολλοὶ ἕπεσθαι.
So he-spoke they and wished with-Diomedes many to-follow
ἠθελέτην Αἴαντε δύω, θεράποντες Ἄρηος,
wished the-Ajaxes two attendants of-Ares
ἤθελε Μηριόνης, μάλα δ' ἤθελε Νέστορος υἱός,
wished Meriones greatly and wished of-Nestor the-son

ἤθελε δ' Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος,
wished and the-son-of-Atreus spear-famed Menelaus
ἤθελε δ' ὁ τλήμων Ὀδυσεὺς καταδῦναι ὅμιλον
wished and the enduring Odysseus to-enter the-throng
Τρώων· αἰεὶ γάρ οἱ ἐνὶ φρεσὶ θυμὸς ἐτόλμα.
of-the-Trojans always for his in mind the-heart dared
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
to-them and also spoke lord of-men Agamemnon
"Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
son-of-Tydeus Diomedes my dear to-heart
τὸν μὲν δὴ ἕταρόν γ' αἱρήσεαι, ὅν κ' ἐθέλῃσθα,
him indeed truly as-comrade indeed you-shall-choose whom — you-wish
φαινομένων τὸν ἄριστον, ἐπεὶ μεμάασί γε πολλοί.
of-those-appearing the best since are-eager indeed many
μηδὲ σύ γ' αἰδόμενος σῇσι φρεσὶ τὸν μὲν ἀρείω
nor you indeed out-of-respect in-your mind the indeed better
καλλείπειν, σὺ δὲ χείρον' ὀπάσσεαι αἰδοῖ εἴκων,
leave-behind you and the-worse take yielding to-respect
ἐς γενεὴν ὁρόων, μηδ' εἰ βασιλεύτερός ἐστιν."
to birth looking not-even if more-kingly he-is
Ὣς ἔφατ', ἔδεισεν δὲ περὶ ξανθῷ Μενελάῳ.
So he-spoke he-feared and for fair-haired Menelaus
τοῖς δ' αὖτις μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
among-them and again spoke at-the-war-cry good Diomedes
"εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ' αὐτὸν ἑλέσθαι,
if indeed truly a-comrade indeed you-bid me myself to-choose
πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
how — then Odysseus I godlike could-forget

οὗ πέρι μὲν πρόφρων κραδίη καὶ θυμὸς ἀγήνωρ
whose above indeed ready the-heart and spirit proud
ἐν πάντεσσι πόνοισι, φιλεῖ δέ έ Παλλὰς Ἀθήνη.
in all toils loves and him Pallas Athena
τούτου γ' ἑσπομένοιο καὶ ἐκ πυρὸς αἰθομένοιο
with-this-one indeed following even from fire blazing
ἄμφω νοστήσαιμεν, ἐπεὶ περίοιδε νοῆσαι."
both we-might-return since he-knows-well to-devise

X.4 · DOLON

Odysseus accepts without boasting. The two arm, and Meriones gives Odysseus a helmet of boar's tusks with a long history. Athena sends a heron on the right, and both pray to her. Among the Trojans, Hector offers a chariot and the best horses at the ships to whoever will spy on the Achaeans. Dolon, rich, ugly, and swift, the only son among five sisters, volunteers if Hector will swear to give him Achilles' horses. Hector swears.

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Him and in-turn addressed much-enduring noble Odysseus
"Τυδεΐδη, μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει·
son-of-Tydeus neither then me very praise nor at-all rebuke
εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις.
to-those-knowing for you-know these-things among the-Argives you-speak
ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ' ἠώς,
but let-us-go very for night is-coming-to-an-end near and dawn
ἄστρα δὲ δὴ προβέβηκε, παροίχωκεν δὲ πλέων νὺξ
the-stars and indeed have-advanced has-gone-by and more-than-half night
τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται."
of-the two parts the-third and still part is-left

Ὣς εἰπόνθ' ὅπλοισιν ἔνι δεινοῖσιν ἐδύτην.
So having-spoken the-arms in dread they-put-on

Τυδείδῃ μὲν δῶκε μενεπτόλεμος Θρασυμήδης
to-the-son-of-Tydeus indeed gave steadfast-in-war Thrasymedes
φάσγανον ἄμφηκες — τὸ δ' ἐὸν παρὰ νηῒ λέλειπτο —
a-sword two-edged the and his-own beside the-ship had-been-left
καὶ σάκος· ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε
and a-shield around and his a-helmet on-his-head he-put
ταυρείην, ἄφαλόν τε καὶ ἄλλοφον, ἥ τε καταῖτυξ
of-bull-hide without-horn both and without-crest which — a-skull-cap
κέκληται, ῥύεται δὲ κάρη θαλερῶν αἰζηῶν.
is-called protects and the-heads of-lusty young-men

Μηριόνης δ' Ὀδυσῆϊ δίδου βιὸν ἠδὲ φαρέτρην
Meriones and to-Odysseus gave a-bow and quiver
καὶ ξίφος, ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε
and sword around and his a-helmet on-his-head he-put
ῥινοῦ ποιητήν· πολέσιν δ' ἔντοσθεν ἱμᾶσιν
of-hide made with-many and within thongs
ἐντέτατο στερεῶς· ἔκτοσθε δὲ λευκοὶ ὀδόντες
was-stretched tightly outside and white teeth
ἀργιόδοντος ὑὸς θαμέες ἔχον ἔνθα καὶ ἔνθα
of-a-white-tusked boar thick held(-it) here and there
εὖ καὶ ἐπισταμένως· μέσσῃ δ' ἐνὶ πῖλος ἀρήρει.
well and skillfully in-the-middle and within felt was-fitted
τήν ῥά ποτ' ἐξ Ἐλεῶνος Ἀμύντορος Ὀρμενίδαο
which then once from Eleon of-Amyntor son-of-Ormenus
ἐξέλετ' Αὐτόλυκος πυκινὸν δόμον ἀντιτορήσας,
took-out Autolycus close-built house having-broken-into
Σκάνδειαν δ' ἄρα δῶκε Κυθηρίῳ Ἀμφιδάμαντι·
to-Scandeia and then he-gave(-it) to-Cytherian Amphidamas

Ἀμφιδάμας δὲ Μόλῳ δῶκε ξεινήϊον εἶναι,
Amphidamas and to-Molus gave(-it) as-a-guest-gift to-be
αὐτὰρ ὁ Μηριόνῃ δῶκεν ᾧ παιδὶ φορῆναι·
but he to-Meriones gave(-it) to-his-own son to-wear
δὴ τότ' Ὀδυσσῆος πύκασεν κάρη ἀμφιτεθεῖσα.
indeed then of-Odysseus it-covered the-head placed-around(-it)
Τὼ δ' ἐπεὶ οὖν ὅπλοισιν ἔνι δεινοῖσιν ἐδύτην,
The-two and when then the-arms in dread they-put-on
βάν ῥ' ἰέναι, λιπέτην δὲ κατ' αὐτόθι πάντας ἀρίστους.
went then to-go left and down there all the-best
τοῖσι δὲ δεξιὸν ἦκεν ἐρωδιὸν ἐγγὺς ὁδοῖο
to-them and on-the-right sent a-heron near the-road
Παλλὰς Ἀθηναίη· τοὶ δ' οὐκ ἴδον ὀφθαλμοῖσι
Pallas Athena they and not saw(-it) with-eyes
νύκτα δι' ὀρφναίην, ἀλλὰ κλάγξαντος ἄκουσαν.
night through dark but crying they-heard(-it)
χαῖρε δὲ τῷ ὄρνιθ' Ὀδυσεύς, ἠρᾶτο δ' Ἀθήνῃ·
rejoiced and at-the bird Odysseus prayed and to-Athena
"κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, ἥ τέ μοι αἰεὶ
hear me of-aegis-bearing Zeus child who — me always
ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω
in all toils stand-by nor you I-escape
κινύμενος· νῦν αὖτε μάλιστά με φίλαι, Ἀθήνη,
moving now in-turn most me love Athena
δὸς δὲ πάλιν ἐπὶ νῆας ἐϋκλεῖας ἀφικέσθαι,
grant and back to the-ships with-good-fame to-come
ῥέξαντας μέγα ἔργον, ὅ κε Τρώεσσι μελήσῃ."
having-done a-great deed which — for-the-Trojans will-be-a-care

Δεύτερος αὖτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
Second in-turn prayed at-the-war-cry good Diomedes
"κέκλυθι νῦν καὶ ἐμεῖο, Διὸς τέκος, Ἀτρυτώνη·
hear now also me of-Zeus child unwearied-one
σπεῖό μοι ὡς ὅτε πατρὶ ἅμ' ἕσπεο Τυδεΐ δίῳ
follow me as when father with you-followed Tydeus noble
ἐς Θήβας, ὅτε τε πρὸ Ἀχαιῶν ἄγγελος ἦει.
to Thebes when — before the-Achaeans as-messenger he-went
τοὺς δ' ἄρ' ἐπ' Ἀσωπῷ λίπε χαλκοχίτωνας Ἀχαιούς,
them and then by the-Asopus he-left bronze-coated Achaeans
αὐτὰρ ὁ μειλίχιον μῦθον φέρε Καδμείοισι
but he gentle word brought to-the-Cadmeans
κεῖσ'· ἀτὰρ ἂψ ἀπιὼν μάλα μέρμερα μήσατο ἔργα
there but back going-away very grim devised deeds
σὺν σοί, δῖα θεά, ὅτε οἱ πρόφρασσα παρέστης.
with you bright goddess when to-him readily you-stood-by
ὣς νῦν μοι ἐθέλουσα παρίσταο καί με φύλασσε.
so now to-me willing stand-by and me guard
σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον,
to-you and in-turn I will-sacrifice a-heifer yearling broad-browed
ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
untamed which not yet under yoke led man
τήν τοι ἐγὼ ῥέξω χρυσὸν κέρασιν περιχεύας."
it to-you I will-sacrifice gold on-the-horns pouring-around
Ὣς ἔφαν εὐχόμενοι, τῶν δ' ἔκλυε Παλλὰς Ἀθήνη.
So they-spoke praying them and heard Pallas Athena
οἱ δ' ἐπεὶ ἠρήσαντο Διὸς κούρῃ μεγάλοιο,
they and when they-had-prayed to-Zeus' daughter great

βάν ῥ᾽ ἴμεν ὥς τε λέοντε δύω διὰ νύκτα μέλαιναν,
went then to-go like — lions two through night black
ἂμ φόνον, ἂν νέκυας, διά τ᾽ ἔντεα καὶ μέλαν αἷμα.
through slaughter through corpses through both arms and black blood
Οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴασεν Ἕκτωρ
Nor indeed not-even the-Trojans proud let Hector
εὕδειν, ἀλλ᾽ ἄμυδις κικλήσκετο πάντας ἀρίστους,
sleep but together he-called all the-best
ὅσσοι ἔσαν Τρώων ἡγήτορες ἠδὲ μέδοντες·
as-many-as were of-the-Trojans leaders and rulers
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἀρτύνετο βουλήν·
them he indeed having-called-together shrewd devised counsel
“τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσειε
who — for-me this work having-undertaken would-accomplish
δώρῳ ἔπι μεγάλῳ; μισθὸς δέ οἱ ἄρκιος ἔσται.
a-gift for great the-pay and for-him sufficient will-be
δώσω γὰρ δίφρον τε δύω τ᾽ ἐριαύχενας ἵππους,
I-will-give for a-chariot both two and high-necked horses
οἵ κεν ἄριστοι ἔωσι θοῇς ἐπὶ νηυσὶν Ἀχαιῶν,
who — best are swift beside ships of-the-Achaeans
ὅς τίς κε τλαίῃ, οἷ τ᾽ αὐτῷ κῦδος ἄροιτο,
who any — would-dare for-him and himself glory would-win
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι
of-the-ships swift-faring near to-go out and to-learn
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
whether are-guarded the-ships swift as the before indeed

ἦ ἤδη χείρεσσιν ὑφ' ἡμετέρῃσι δαμέντες
or already hands under our subdued
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ' ἐθέλουσι
flight they-plan among themselves nor are-they-willing
νύκτα φυλασσέμεναι, καμάτῳ ἀδηκότες αἰνῷ."
night to-guard with-weariness overcome dread
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
So he-spoke they and then all silent became in-silence
ἦν δέ τις ἐν Τρώεσσι Δόλων, Εὐμήδεος υἱὸς
there-was and a-certain among the-Trojans Dolon of-Eumedes son
κήρυκος θείοιο, πολύχρυσος πολύχαλκος,
of-the-herald divine rich-in-gold rich-in-bronze
ὃς δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης·
who indeed you-know in-form indeed was ugly but swift-footed
αὐτὰρ ὁ μοῦνος ἔην μετὰ πέντε κασιγνήτῃσιν.
but he only was among five sisters
ὅς ῥα τότε Τρωσίν τε καὶ Ἕκτορι μῦθον ἔειπεν·
who then then to-the-Trojans both and to-Hector a-word spoke
" Ἕκτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
Hector me urges the-heart and spirit proud
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι.
of-the-ships swift-faring near to-go out and to-learn
ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, καί μοι ὄμοσσον
but come to-me the staff hold-up and to-me swear
ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῷ
truly indeed the horses both and the-chariot inlaid with-bronze
δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλεΐωνα,
to-give(-me) which carry blameless the-son-of-Peleus
σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι οὐδ' ἀπὸ δόξης·
to-you and I not vain scout shall-be nor from expectation

τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερές, ὄφρ᾽ ἂν ἵκωμαι
so-far for into the-host I-will-go right-through until — I-reach
νῆ᾽ Ἀγαμεμνονέην, ὅθι που μέλλουσιν ἄριστοι
the-ship of-Agamemnon where surely are-about the-best
βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι.᾽᾽
counsels to-take-counsel whether to-flee or to-fight
Ὣς φάθ᾽, ὁ δ᾽ ἐν χερσὶ σκῆπτρον λάβε καί οἱ ὄμοσσεν·
So he-spoke he and in hands the-staff took and to-him swore
᾽᾽ἴστω νῦν Ζεὺς αὐτός, ἐρίγδουπος πόσις Ἥρης,
let-know now Zeus himself loud-thundering husband of-Hera
μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος
not indeed on-those horses man will-ride other
Τρώων, ἀλλά σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι.᾽᾽
of-the-Trojans but you I-say continually to-glory(-in-them)

X.5 · THE CAPTURE OF DOLON

Dolon sets out in a wolfskin and a marten-skin cap. Odysseus spots him, and the two let him pass before they chase him, like hounds driving a hare or fawn. Near the Achaean guards, Diomedes throws his spear just over Dolon's shoulder. Dolon stops, teeth chattering, and offers a rich ransom. He confesses that Hector lured him with Achilles' horses. Odysseus smiles that only Achilles can master them, and asks where Hector is and how the Trojans keep watch.

Ὣς φάτο καί ῥ᾽ ἐπίορκον ἐπώμοσε, τὸν δ᾽ ὀρόθυνεν·
So he-spoke and then a-false-oath he-swore him and he-stirred-up
αὐτίκα δ᾽ ἀμφ᾽ ὤμοισιν ἐβάλλετο καμπύλα τόξα,
at-once and around shoulders he-threw curved bow
ἔσσατο δ᾽ ἔκτοσθεν ῥινὸν πολιοῖο λύκοιο,
he-put-on and outside the-hide of-a-gray wolf

κρατὶ δ᾽ ἐπὶ κτιδέην κυνέην, ἕλε δ᾽ ὀξὺν ἄκοντα,
head and on of-marten-skin a-helmet took and sharp javelin
βῆ δ᾽ ἰέναι προτὶ νῆας ἀπὸ στρατοῦ· οὐδ᾽ ἄρ᾽ ἔμελλεν
went and to-go toward the-ships from the-host nor then was-he-destined
ἐλθὼν ἐκ νηῶν ἂψ Ἕκτορι μῦθον ἀποίσειν.
coming from the-ships back to-Hector the-word to-bring
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵππων τε καὶ ἀνδρῶν κάλλιφ᾽ ὅμιλον,
but when indeed then of-horses both and of-men he-left the-throng
βῆ ῥ᾽ ἀν᾽ ὁδὸν μεμαώς· τὸν δὲ φράσατο προσιόντα
went then along the-road eager him and noticed approaching
διογενὴς Ὀδυσεύς, Διομήδεα δὲ προσέειπεν·
Zeus-born Odysseus Diomedes and addressed
“οὗτός τις, Διόμηδες, ἀπὸ στρατοῦ ἔρχεται ἀνήρ,
this some Diomedes from the-host comes man
οὐκ οἶδ᾽ ἢ νήεσσιν ἐπίσκοπος ἡμετέρῃσιν,
not I-know whether to-the-ships as-a-spy our
ἢ τινα συλήσων νεκύων κατατεθνηώτων.
or some to-strip of-the-corpses dead
ἀλλ᾽ ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο
but let-us-let him first to-pass-by over-the-plain
τυτθόν· ἔπειτα δέ κ᾽ αὐτὸν ἐπαΐξαντες ἕλοιμεν
a-little then and — him springing-on we-might-take
καρπαλίμως· εἰ δ᾽ ἄμμε παραφθαίησι πόδεσσιν,
swiftly if and us he-should-outstrip with-feet
αἰεί μιν ἐπὶ νῆας ἀπὸ στρατόφι προτιειλεῖν,
always him toward the-ships from the-host to-hem-in
ἔγχει ἐπαΐσσων, μή πως προτὶ ἄστυ ἀλύξῃ.”
with-spear springing-at lest somehow to the-town he-escape

Ὣς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ ἐν νεκύεσσι
So then having-spoken aside-from the-road among the-corpses
κλινθήτην· ὁ δ' ἄρ' ὦκα παρέδραμεν ἀφραδίῃσιν.
lay-down he and then quickly ran-past in-heedlessness
ἀλλ' ὅτε δή ῥ' ἀπέην ὅσσον τ' ἐπὶ οὖρα πέλονται
but when indeed then he-was-away as-far-as — on the-furrow-length are
ἡμιόνων — αἵ γάρ τε βοῶν προφερέστεραί εἰσιν
of-mules they for — than-oxen better are
ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον —
to-draw through-the-fallow deep the-jointed plow
τὼ μὲν ἐπεδραμέτην, ὁ δ' ἄρ' ἔστη δοῦπον ἀκούσας.
the-two indeed ran-at(-him) he and then stood the-thud hearing
ἔλπετο γὰρ κατὰ θυμὸν ἀποστρέψοντας ἑταίρους
he-hoped for in heart to-turn-him-back comrades
ἐκ Τρώων ἰέναι, πάλιν Ἕκτορος ὀτρύναντος.
from the-Trojans to-come back Hector urging(-them)
ἀλλ' ὅτε δή ῥ' ἄπεσαν δουρηνεκὲς ἢ καὶ ἔλασσον,
but when indeed then they-were-away a-spear-cast or even less
γνῶ ῥ' ἄνδρας δηΐους, λαιψηρὰ δὲ γούνατ' ἐνώμα
he-knew then men hostile nimble and knees he-plied
φευγέμεναι· τοὶ δ' αἶψα διώκειν ὁρμήθησαν.
to-flee they and quickly to-pursue rushed
ὡς δ' ὅτε καρχαρόδοντε δύω κύνε, εἰδότε θήρης,
as and when sharp-toothed two dogs knowing of-the-chase
ἢ κεμάδ' ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲς αἰεὶ
either a-fawn or a-hare press continually always
χῶρον ἀν' ὑλήενθ', ὁ δέ τε προθέῃσι μεμηκώς,
place through wooded it and — runs-ahead bleating

ὣς τὸν Τυδεΐδης ἠδ' ὁ πτολίπορθος Ὀδυσσεὺς
so him the-son-of-Tydeus and the sacker-of-cities Odysseus
λαοῦ ἀποτμήξαντε διώκετον ἐμμενὲς αἰεί.
from-the-people having-cut-off pursued continually always
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε μιγήσεσθαι φυλάκεσσι
but when indeed soon he-was-about to-mingle with-the-guards
φεύγων ἐς νῆας, τότε δὴ μένος ἔμβαλ' Ἀθήνη
fleeing to the-ships then indeed might cast-in Athena
Τυδεΐδῃ, ἵνα μή τις Ἀχαιῶν χαλκοχιτώνων
to-the-son-of-Tydeus so-that not any of-the-Achaeans bronze-coated
φθαίη ἐπευξάμενος βαλέειν, ὁ δὲ δεύτερος ἔλθοι.
might-be-first boasting to-strike he and second might-come
δουρὶ δ' ἐπαΐσσων προσέφη κρατερὸς Διομήδης·
with-spear and springing-at addressed mighty Diomedes
"ἠὲ μέν', ἠέ σε δουρὶ κιχήσομαι, οὐδέ σέ φημι
either stop or you with-spear I-will-overtake nor you I-say
δηρὸν ἐμῆς ἀπὸ χειρὸς ἀλύξειν αἰπὺν ὄλεθρον."
long my from hand to-escape sheer destruction
Ἦ ῥα, καὶ ἔγχος ἀφῆκεν, ἑκὼν δ' ἡμάρτανε φωτός·
He-spoke then and the-spear let-fly willingly and he-missed the-man
δεξιτερὸν δ' ὑπὲρ ὦμον ἐΰξου δουρὸς ἀκωκὴ
right and over shoulder of-the-well-polished spear the-point
ἐν γαίῃ ἐπάγη· ὁ δ' ἄρ' ἔστη τάρβησέν τε
in the-earth stuck he and then stood was-afraid and
βαμβαίνων — ἄραβος δὲ διὰ στόμα γίγνετ' ὀδόντων —
stammering a-chattering and through mouth arose of-teeth
χλωρὸς ὑπαὶ δείους· τὼ δ' ἀσθμαίνοντε κιχήτην,
pale beneath fear the-two and panting overtook(-him)
χειρῶν δ' ἁψάσθην· ὁ δὲ δακρύσας ἔπος ηὔδα·
of-the-hands and they-seized he and weeping word spoke

"ζωγρεῖτ', αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι· ἔστι γὰρ ἔνδον
take(-me)-alive but I myself will-ransom is for within
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
bronze both gold and much-wrought and iron
τῶν κ' ὔμμιν χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα,
from-these — to-you would-grant my-father boundless ransom
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν."
if — me alive he-should-learn-of at the-ships of-the-Achaeans
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"θάρσει, μηδέ τί τοι θάνατος καταθύμιος ἔστω.
take-courage nor at-all to-you death in-heart let-be
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
but come to-me this tell and truly recount
πῇ δὴ οὕτως ἐπὶ νῆας ἀπὸ στρατοῦ ἔρχεαι οἷος
where indeed thus to the-ships from the-host do-you-come alone
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
night through dark when — sleep mortals other
ἦ τινα συλήσων νεκύων κατατεθνηώτων;
or some to-strip of-the-corpses dead
ἦ σ' Ἕκτωρ προέηκε διασκοπιᾶσθαι ἕκαστα
or you Hector sent-forth to-spy-out each(-thing)
νῆας ἔπι γλαφυράς; ἦ σ' αὐτὸν θυμὸς ἀνῆκε;"
the-ships to hollow or you yourself the-heart sent
Τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, ὑπὸ δ' ἔτρεμε γυῖα·
Him and answered then Dolon beneath and trembled limbs
"πολλῇσίν μ' ἄτῃσι παρὲκ νόον ἤγαγεν Ἕκτωρ,
with-many me follies beside mind led Hector

ὅς μοι Πηλεΐωνος ἀγαυοῦ μώνυχας ἵππους
who to-me of-the-son-of-Peleus lordly the-single-hoofed horses
δωσέμεναι κατένευσε καὶ ἅρματα ποικίλα χαλκῷ,
to-give promised and the-chariot inlaid with-bronze
ἠνώγει δέ μ' ἰόντα θοὴν διὰ νύκτα μέλαιναν
he-bade and me going swift through night black
ἀνδρῶν δυσμενέων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι
of-men hostile near to-go out and to-learn
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
whether are-guarded the-ships swift as the before indeed
ἦ ἤδη χείρεσσιν ὑφ' ἡμετέρῃσι δαμέντες
or already hands under our subdued
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ' ἐθέλουσι
flight they-plan among themselves nor are-they-willing
νύκτα φυλασσέμεναι, καμάτῳ ἀδηκότες αἰνῷ."
night to-guard with-weariness overcome dread
Τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Him and smiling addressed of-many-wiles Odysseus
"ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός,
truly then now your for-great gifts was-eager the-heart
ἵππων Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
for-the-horses of-the-son-of-Aeacus wise they and hard
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
for-men indeed mortal to-be-mastered and to-be-driven
ἄλλῳ γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
for-other indeed than Achilles whom immortal bore mother
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
but come to-me this tell and truly recount
ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα, ποιμένα λαῶν;
where now hither coming did-you-leave Hector shepherd of-the-people

πού δέ οἱ ἔντεα κεῖται ἀρήϊα, πού δέ οἱ ἵπποι;
where and his arms lie warlike where and his horses
πῶς δ' αἱ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;
how and the of-the other Trojans the-watches both and beds
ἅσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
what-things — they-devise among themselves whether they-are-eager
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἦε πόλινδε
there to-stay beside the-ships far-off or to-the-city
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ' Ἀχαιούς."
back they-will-withdraw since they-have-subdued indeed the-Achaeans

X.6 · THE KILLING OF RHESUS

Dolon tells Odysseus that the Trojans keep watch by their fires while the allies sleep, and names the allies' positions. The newly arrived Thracians lie apart with their king Rhesus, whose horses are whiter than snow and whose armor is gold. When Dolon begs to be spared, Diomedes kills him. Odysseus dedicates his spoils to Athena and marks the place. They reach the Thracians, and Diomedes kills twelve men and then Rhesus while Odysseus drives out the horses.

Τὸν δ' αὖτε προσέειπε Δόλων, Εὐμήδεος υἱός·
Him and in-turn addressed Dolon of-Eumedes son
"τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
therefore I to-you these-things very truly will-recount
Ἕκτωρ μὲν μετὰ τοῖσιν, ὅσοι βουληφόροι εἰσί,
Hector indeed among those as-many-as counsel-bearers are
βουλὰς βουλεύει θείου παρὰ σήματι Ἴλου,
counsels takes-counsel godlike beside the-tomb of-Ilus
νόσφιν ἀπὸ φλοίσβου· φυλακὰς δ' ἂς εἴρεαι, ἥρως,
apart from the-din the-watches and which you-ask hero

οὔ τις κεκριμένη ῥύεται στρατὸν οὐδὲ φυλάσσει.
not any picked guards the-host nor watches
ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι, οἷσιν ἀνάγκη,
as-many-as indeed of-the-Trojans fire hearths for-whom there-is-necessity
οἱ δ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται
they and are-awake to-keep-watch and bid
ἀλλήλοις· ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι
one-another but in-turn the-many-called-from-afar allies
εὕδουσι· Τρωσὶν γὰρ ἐπιτραπέουσι φυλάσσειν·
sleep to-the-Trojans for they-leave(-it) to-keep-watch
οὐ γάρ σφιν παῖδες σχεδὸν ἥαται οὐδὲ γυναῖκες."
not for to-them children near sit nor wives
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"πῶς γὰρ νῦν, Τρώεσσι μεμιγμένοι ἱπποδάμοισιν
how for now with-the-Trojans mingled horse-taming
εὕδουσ', ἦ ἀπάνευθε; δίειπέ μοι, ὄφρα δαείω."
do-they-sleep or apart tell to-me so-that I-may-learn
Τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, Εὐμήδεος υἱός·
Him and answered then Dolon of-Eumedes son
"τοιγὰρ ἐγὼ καὶ ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
therefore I also these-things very truly will-recount
πρὸς μὲν ἁλὸς Κᾶρες καὶ Παίονες ἀγκυλότοξοι
toward indeed the-sea the-Carians and Paeonians with-curved-bows
καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελασγοί,
and Leleges and Caucones noble and Pelasgians
πρὸς Θύμβρης δ' ἔλαχον Λύκιοι Μυσοί τ' ἀγέρωχοι
toward Thymbre and were-allotted the-Lycians the-Mysians and lordly
καὶ Φρύγες ἱππόμαχοι καὶ Μῄονες ἱπποκορυσταί.
and Phrygians horse-fighting and Maeonians horse-marshaling

ἀλλὰ τίη ἐμὲ ταῦτα διεξερέεσθε ἕκαστα;
but why me these-things do-you-question each
εἰ γὰρ δὴ μέματον Τρώων καταδῦναι ὅμιλον,
if for indeed you-two-are-eager of-the-Trojans to-enter the-throng
Θρῄϊκες οἵδ' ἀπάνευθε νεήλυδες, ἔσχατοι ἄλλων·
the-Thracians these apart newly-come farthest of-the-others
ἐν δέ σφιν Ῥῆσος βασιλεύς, πάϊς Ἠϊονῆος.
among and them Rhesus the-king son of-Eioneus
τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους·
of-him indeed most-beautiful horses I-saw and greatest
λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι·
whiter than-snow in-running and to-the-winds like
ἅρμα δέ οἱ χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκηται·
the-chariot and his with-gold both and silver well is-wrought
τεύχεα δὲ χρύσεια πελώρια, θαῦμα ἰδέσθαι,
arms and golden huge a-wonder to-see
ἦλυθ' ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖσιν ἔοικεν
he-came having these indeed not at-all to-mortal are-fit
ἄνδρεσσιν φορέειν, ἀλλ' ἀθανάτοισι θεοῖσιν.
men to-wear but to-immortal gods
ἀλλ' ἐμὲ μὲν νῦν νηυσὶ πελάσσετον ὠκυπόροισιν,
but me indeed now to-the-ships bring swift-faring
ἠέ με δήσαντες λίπετ' αὐτόθι νηλεῖ δεσμῷ,
or me binding leave there in-pitiless bond
ὄφρα κεν ἔλθητον καὶ πειρηθῆτον ἐμεῖο,
until — you-two-go and try me
ἠὲ κατ' αἶσαν ἔειπον ἐν ὑμῖν, ἦε καὶ οὐκί."
whether according-to due I-spoke among you or also not

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
Him and then from-under looking addressed mighty Diomedes
"μὴ δή μοι φύξιν γε, Δόλων, ἐμβάλλεο θυμῷ,
not indeed to-me escape indeed Dolon put in-heart
ἐσθλά περ ἀγγείλας, ἐπεὶ ἵκεο χεῖρας ἐς ἁμάς.
good-things though having-reported since you-came hands into our
εἰ μὲν γάρ κέ σε νῦν ἀπολύσομεν ἠὲ μεθῶμεν,
if indeed for — you now we-release or let-go
ἦ τε καὶ ὕστερον εἶσθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν,
truly — also later you-will-go swift to ships of-the-Achaeans
ἠὲ διοπτεύσων ἢ ἐναντίβιον πολεμίξων·
either to-spy or face-to-face to-fight
εἰ δέ κ' ἐμῇς ὑπὸ χερσὶ δαμεὶς ἀπὸ θυμὸν ὀλέσσῃς,
if and — my under hands subdued away life you-lose
οὐκέτ' ἔπειτα σὺ πῆμά ποτ' ἔσσεαι Ἀργείοισιν."
no-longer then you a-bane ever will-be to-the-Argives
Ἦ, καὶ ὁ μέν μιν ἔμελλε γενείου χειρὶ παχείῃ
He-spoke and he indeed him was-about by-the-chin with-hand stout
ἁψάμενος λίσσεσθαι, ὁ δ' αὐχένα μέσσον ἔλασσε
touching to-beseech he and the-neck in-the-middle drove-at
φασγάνῳ ἀΐξας, ἀπὸ δ' ἄμφω κέρσε τένοντε·
with-the-sword darting away and both he-cut sinews
φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
speaking and then his indeed head with-the-dust was-mingled
τοῦ δ' ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν ἕλοντο
of-him and from indeed the-marten-skin helmet from-the-head they-took
καὶ λυκέην καὶ τόξα παλίντονα καὶ δόρυ μακρόν·
and the-wolf-skin and bow back-bent and spear long

καὶ τά γ' Ἀθηναίῃ ληΐτιδι δῖος Ὀδυσσεὺς
and these indeed to-Athena driver-of-spoil noble Odysseus
ὑψόσ' ἀνέσχεθε χειρὶ καὶ εὐχόμενος ἔπος ηὔδα·
on-high held-up with-hand and praying word spoke
"χαῖρε, θεά, τοῖσδεσσι· σὲ γὰρ πρώτην ἐν Ὀλύμπῳ
rejoice goddess in-these you for first on Olympus
πάντων ἀθανάτων ἐπιδωσόμεθ'· ἀλλὰ καὶ αὖτις
of-all the-immortals we-will-call-upon but also again
πέμψον ἐπὶ Θρῃκῶν ἀνδρῶν ἵππους τε καὶ εὐνάς."
send(-us) to of-the-Thracian men the-horses both and beds
Ὣς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ ἕθεν ὑψόσ' ἀείρας
So then he-spoke and away himself on-high lifting(-them)
θῆκεν ἀνὰ μυρίκην· δέελον δ' ἐπὶ σῆμά τ' ἔθηκε,
he-set(-them) on a-tamarisk conspicuous and on a-sign and he-put
συμμάρψας δόνακας μυρίκης τ' ἐριθηλέας ὄζους,
gathering-together reeds of-tamarisk and luxuriant branches
μὴ λάθοι αὖτις ἰόντε θοὴν διὰ νύκτα μέλαιναν.
lest it-escape again coming swift through night black
τὼ δὲ βάτην προτέρω διά τ' ἔντεα καὶ μέλαν αἷμα,
the-two and went forward through both arms and black blood
αἶψα δ' ἐπὶ Θρῃκῶν ἀνδρῶν τέλος ἶξον ἰόντες.
quickly and to of-the-Thracian men the-company they-came going
οἱ δ' εὗδον καμάτῳ ἀδηκότες, ἔντεα δέ σφιν
they and slept with-weariness overcome the-arms and their
καλὰ παρ' αὐτοῖσι χθονὶ κέκλιτο εὖ κατὰ κόσμον
fair beside themselves on-the-ground were-leaned well in order
τριστοιχί· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι.
in-three-rows beside and them by-each pair-yoked horses

Ῥῆσος δ' ἐν μέσῳ εὗδε, παρ' αὐτῷ δ' ὠκέες ἵπποι
Rhesus and in the-middle slept beside him and swift horses
ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.
from the-chariot-rail topmost by-thongs were-bound
τὸν δ' Ὀδυσεὺς προπάροιθεν ἰδὼν Διομήδεϊ δεῖξεν·
him and Odysseus before seeing to-Diomedes showed(-him)
"οὗτός τοι, Διόμηδες, ἀνήρ, οὗτοι δέ τοι ἵπποι,
this you-know Diomedes the-man these and you-know the-horses
οὓς νῶϊν πίφαυσκε Δόλων, ὃν ἐπέφνομεν ἡμεῖς.
whom to-us-two indicated Dolon whom we-killed we
ἀλλ' ἄγε δὴ πρόφερε κρατερὸν μένος· οὐδέ τί σε χρὴ
but come indeed bring-forth mighty might nor at-all you it-is-needful
ἑστάμεναι μέλεον σὺν τεύχεσιν, ἀλλὰ λύ' ἵππους·
to-stand idle with arms but loose the-horses
ἠὲ σύ γ' ἄνδρας ἔναιρε, μελήσουσιν δ' ἐμοὶ ἵπποι."
or you indeed the-men slay will-be-a-care and to-me the-horses
Ὣς φάτο, τῷ δ' ἔμπνευσε μένος γλαυκῶπις Ἀθήνη,
So he-spoke into-him and breathed might flashing-eyed Athena
κτεῖνε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὄρνυτ' ἀεικὴς
he-killed and turning-every-way of-them and a-groan rose unseemly
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι γαῖα.
by-the-sword being-struck grew-red and with-blood the-earth
ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών,
as and a-lion on-flocks unshepherded coming
αἴγεσιν ἢ ὄΐεσσι, κακὰ φρονέων ἐνορούσῃ,
on-goats or on-sheep evil intending leaps
ὣς μὲν Θρῄϊκας ἄνδρας ἐπῴχετο Τυδέος υἱός,
so indeed the-Thracian men went-at of-Tydeus the-son
ὄφρα δυώδεκ' ἔπεφνεν· ἀτὰρ πολύμητις Ὀδυσσεύς,
until twelve he-killed but of-many-wiles Odysseus

ὅν τινα Τυδεΐδης ἄορι πλήξειε παραστάς,
whom any the-son-of-Tydeus with-the-sword struck standing-beside
τὸν δ' Ὀδυσεὺς μετόπισθε λαβὼν ποδὸς ἐξερύσασκε,
him and Odysseus behind taking by-the-foot dragged-out
τὰ φρονέων κατὰ θυμόν, ὅπως καλλίτριχες ἵπποι
these-things intending in heart that the-fair-maned horses
ῥεῖα διέλθοιεν μηδὲ τρομεοίατο θυμῷ
easily might-pass-through nor be-terrified in-heart
νεκροῖς ἐμβαίνοντες· ἀήθεσσον γὰρ ἔτ' αὐτῶν.
on-corpses stepping-on they-were-unaccustomed for still to-them
ἀλλ' ὅτε δὴ βασιλῆα κιχήσατο Τυδέος υἱός,
but when indeed the-king reached of-Tydeus the-son
τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα
him the-thirteenth honey-sweet of-life he-robbed
ἀσθμαίνοντα· κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη
gasping an-evil for dream over-head stood
τὴν νύκτ', Οἰνεΐδαο πάϊς, διὰ μῆτιν Ἀθήνης.
that night of-the-son-of-Oeneus the-son through the-counsel of-Athena
τόφρα δ' ἄρ' ὁ τλήμων Ὀδυσεὺς λύε μώνυχας ἵππους,
meanwhile and then the enduring Odysseus loosed the-single-hoofed horses
σὺν δ' ἤειρεν ἱμᾶσι καὶ ἐξήλαυνεν ὁμίλου
together and he-coupled(-them) with-thongs and drove(-them)-out of-the-throng
τόξῳ ἐπιπλήσσων, ἐπεὶ οὐ μάστιγα φαεινὴν
with-the-bow striking since not the-whip shining
ποικίλου ἐκ δίφροιο νοήσατο χερσὶν ἑλέσθαι·
inlaid from the-chariot he-thought with-hands to-take
ῥοίζησεν δ' ἄρα πιφαύσκων Διομήδεϊ δίῳ.
he-whistled and then signaling to-Diomedes noble

Diomedes wonders whether to carry off the chariot or kill more Thracians, but Athena tells him to go back to the ships. Apollo wakes Hippocoon, who sees the slaughter and raises the cry. The two heroes gather Dolon's spoils and ride to the ships. Nestor hears the hoofbeats, and the chiefs greet them. Odysseus tells how they killed Rhesus and twelve of his men, and Dolon. They wash in the sea and in baths, then eat and pour wine for Athena.

Αὐτὰρ ὁ μερμήριζε μένων ὅ τι κύντατον ἔρδοι,
But he pondered staying what — most-daring he-might-do
ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχεα κεῖτο,
whether he indeed the-chariot taking where the-inlaid arms lay
ῥυμοῦ ἐξερύοι ἢ ἐκφέροι ὑψόσ' ἀείρας,
by-the-pole might-drag-out or might-carry-out on-high lifting(-it)
ἦ ἔτι τῶν πλεόνων Θρηκῶν ἀπὸ θυμὸν ἕλοιτο.
or still of-the more Thracians from life he-might-take
ἧος ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα, τόφρα δ' Ἀθήνη
while he these-things pondered in mind meanwhile and Athena
ἐγγύθεν ἱσταμένη προσέφη Διομήδεα δῖον·
near standing addressed Diomedes noble
"νόστου δὴ μνῆσαι, μεγαθύμου Τυδέος υἱέ,
of-return indeed be-mindful great-hearted of-Tydeus son
νῆας ἔπι γλαφυράς, μὴ καὶ πεφοβημένος ἔλθῃς,
the-ships to hollow lest also put-to-flight you-come
μή πού τις καὶ Τρῶας ἐγείρῃσιν θεὸς ἄλλος."
lest somehow some also the-Trojans may-rouse god other

Ὣς φάθ', ὁ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης,
So she-spoke he and knew of-the-goddess the-voice speaking
καρπαλίμως δ' ἵππων ἐπεβήσετο· κόψε δ' Ὀδυσσεὺς
swiftly and the-horses mounted struck and Odysseus
τόξῳ· τοὶ δ' ἐπέτοντο θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
with-the-bow they and flew swift to ships of-the-Achaeans
Οὐδ' ἀλαοσκοπιὴν εἶχ' ἀργυρότοξος Ἀπόλλων,
Nor a-blind-watch kept silver-bowed Apollo
ὡς ἴδ' Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἕπουσαν·
as he-saw Athena with of-Tydeus the-son attending
τῇ κοτέων Τρώων κατεδύσετο πουλὺν ὅμιλον,
at-her angered of-the-Trojans he-entered the-great throng
ὦρσεν δὲ Θρηκῶν βουληφόρον Ἱπποκόωντα,
he-roused and of-the-Thracians the-counselor Hippocoon
Ῥήσου ἀνεψιὸν ἐσθλόν· ὁ δ' ἐξ ὕπνου ἀνορούσας,
of-Rhesus cousin noble he and from sleep starting-up
ὡς ἴδε χῶρον ἐρῆμον, ὅθ' ἕστασαν ὠκέες ἵπποι,
as he-saw the-place deserted where had-stood the-swift horses
ἄνδρας τ' ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσιν,
men and gasping in grievous slaughter
ᾤμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν ἑταῖρον.
groaned and then thereafter dear and named comrade
Τρώων δὲ κλαγγή τε καὶ ἄσπετος ὦρτο κυδοιμὸς
of-the-Trojans and clamor both and unspeakable rose uproar
θυνόντων ἄμυδις· θηεῦντο δὲ μέρμερα ἔργα,
rushing together they-gazed-at and the-grim deeds
ὅσσ' ἄνδρες ῥέξαντες ἔβαν κοίλας ἐπὶ νῆας.
as-many-as the-men having-done went hollow to ships

Οἱ δ' ὅτε δὴ ῥ' ἵκανον ὅθι σκοπὸν Ἕκτορος ἔκταν,
They and when indeed then they-came where the-scout of-Hector they-killed
ἔνθ' Ὀδυσεὺς μὲν ἔρυξε Διΐ φίλος ὠκέας ἵππους,
there Odysseus indeed held-back to-Zeus dear the-swift horses
Τυδείδης δὲ χαμᾶζε θορὼν ἔναρα βροτόεντα
the-son-of-Tydeus and to-the-ground leaping the-spoils bloody
ἐν χείρεσσ' Ὀδυσῆϊ τίθει, ἐπεβήσετο δ' ἵππων·
in hands to-Odysseus placed mounted and the-horses
μάστιξεν δ' ἵππους, τὼ δ' οὐκ ἀέκοντε πετέσθην
he-whipped and the-horses the-two and not unwilling flew
νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ.
the-ships to hollow there for dear it-was to-heart
Νέστωρ δὲ πρῶτος κτύπον ἄϊε φώνησέν τε·
Nestor and first the-thud heard spoke and
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
O friends of-the-Argives leaders and rulers
ψεύσομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
shall-I-lie or truly will-I-speak bids and me the-heart
ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει.
of-horses me swift-footed around the-thud the-ears strikes
αἴ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης
if-only for indeed Odysseus both and the mighty Diomedes
ὧδ' ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους·
so at-once from the-Trojans should-drive single-hoofed horses
ἀλλ' αἰνῶς δείδοικα κατὰ φρένα μή τι πάθωσιν
but terribly I-fear in mind lest at-all they-suffer
Ἀργείων οἱ ἄριστοι ὑπὸ Τρώων ὀρυμαγδοῦ."
of-the-Argives the best by of-the-Trojans the-din

Οὔ πω πᾶν εἴρητο ἔπος ὅτ' ἄρ' ἤλυθον αὐτοί.
Not yet all was-spoken the-word when then came themselves
καί ῥ' οἱ μὲν κατέβησαν ἐπὶ χθόνα, τοὶ δὲ χαρέντες
and then they indeed came-down to the-ground they and rejoicing
δεξιῇ ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισι·
with-right-hand greeted(-them) with-words and gentle
πρῶτος δ' ἐξερέεινε Γερήνιος ἱππότα Νέστωρ·
first and asked Gerenian horseman Nestor
"εἶπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
tell come me O much-praised Odysseus great glory of-the-Achaeans
ὅππως τούσδ' ἵππους λάβετον, καταδύντες ὅμιλον
how these horses you-two-took entering the-throng
Τρώων, ἦ τίς σφωε πόρεν θεὸς ἀντιβολήσας.
of-the-Trojans or some to-you-two gave god meeting(-you)
αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο.
terribly to-the-rays like of-the-sun
αἰεὶ μὲν Τρώεσσ' ἐπιμίσγομαι, οὐδέ τί φημι
always indeed with-the-Trojans I-mingle nor at-all I-say
μιμνάζειν παρὰ νηυσὶ γέρων περ ἐὼν πολεμιστής·
to-linger beside the-ships old though being warrior
ἀλλ' οὔ πω τοίους ἵππους ἴδον οὐδ' ἐνόησα.
but not yet such horses I-saw nor noticed
ἀλλά τιν' ὔμμ' οἴω δόμεναι θεὸν ἀντιάσαντα·
but some you I-think to-have-given god having-met(-you)
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεὺς
both for you-two loves cloud-gatherer Zeus
κούρη τ' αἰγιόχοιο Διὸς γλαυκῶπις Ἀθήνη."
daughter and of-aegis-bearing Zeus flashing-eyed Athena

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
O Nestor son-of-Neleus great glory of-the-Achaeans
ῥεῖα θεός γ' ἐθέλων καὶ ἀμείνονας ἠέ περ οἵδε
easily a-god indeed willing even better than indeed these
ἵππους δωρήσαιτ', ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
horses could-give since truly much stronger are(-they)
ἵπποι δ' οἵδε, γεραιέ, νεήλυδες, οὓς ἐρεείνεις,
horses and these old-man newly-come which you-ask-about
Θρῃΐκιοι· τὸν δέ σφιν ἄνακτ' ἀγαθὸς Διομήδης
Thracian the and their lord good Diomedes
ἔκτανε, πὰρ δ' ἑτάρους δυοκαίδεκα πάντας ἀρίστους.
killed beside and comrades twelve all the-best
τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν ἐγγύθι νηῶν,
the thirteenth a-scout we-took near the-ships
τόν ῥα διοπτῆρα στρατοῦ ἔμμεναι ἡμετέροιο
whom then as-a-spy of-the-host to-be our
Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶες ἀγαυοί."
Hector both sent-forth and other Trojans lordly
Ὣς εἰπὼν τάφροιο διήλασε μώνυχας ἵππους
So having-spoken through-the-ditch he-drove the-single-hoofed horses
καγχαλόων· ἅμα δ' ἄλλοι ἴσαν χαίροντες Ἀχαιοί.
exulting together and others went rejoicing Achaeans
οἱ δ' ὅτε Τυδεΐδεω κλισίην εὖτυκτον ἵκοντο,
they and when of-the-son-of-Tydeus the-hut well-built they-reached

ἵππους μὲν κατέδησαν ἐϋτμήτοισιν ἱμᾶσι
the-horses indeed they-tied with-well-cut thongs
φάτνῃ ἐφ᾽ ἱππείῃ, ὅθι περ Διομήδεος ἵπποι
the-manger at horses' where indeed of-Diomedes the-horses
ἕστασαν ὠκύποδες μελιηδέα πυρὸν ἔδοντες·
stood swift-footed honey-sweet wheat eating
νηῒ δ᾽ ἐνὶ πρύμνῃ ἔναρα βροτόεντα Δόλωνος
ship and in stern the-spoils bloody of-Dolon
θῆκ᾽ Ὀδυσεύς, ὄφρ᾽ ἱρὸν ἑτοιμασσαίατ᾽ Ἀθήνῃ.
put Odysseus so-that a-sacrifice they-might-prepare to-Athena
αὐτοὶ δ᾽ ἱδρῷ πολλὸν ἀπονίζοντο θαλάσσῃ
themselves and the-sweat much washed-off in-the-sea
ἐσβάντες κνήμας τε ἰδὲ λόφον ἀμφί τε μηρούς.
going-in shins both and neck around and thighs
αὐτὰρ ἐπεί σφιν κῦμα θαλάσσης ἱδρῶ πολλὸν
but when from-them the-wave of-the-sea the-sweat much
νίψεν ἀπὸ χρωτὸς καὶ ἀνέψυχθεν φίλον ἦτορ,
washed from the-skin and were-refreshed dear heart
ἔς ῥ᾽ ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.
into then bathtubs going well-polished they-bathed
τὼ δὲ λοεσσαμένω καὶ ἀλειψαμένω λίπ᾽ ἐλαίῳ
the-two and having-bathed and having-anointed-themselves richly with-oil
δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆρος Ἀθήνῃ
at-supper sat from and the-bowl to-Athena
πλείου ἀφυσσόμενοι λείβον μελιηδέα οἶνον.
full drawing poured honey-sweet wine

BOOK XI

XI.1 · THE ARMING OF AGAMEMNON

At dawn Zeus sends Strife to the ships, and her shout fills the Achaeans with the will to fight. Agamemnon arms in Cinyras' corselet and the Gorgon shield, and Zeus sends a rain of blood. Hector moves through the Trojan ranks like a baleful star. The armies meet like reapers in a field, and neither side thinks of flight. Strife alone of the gods rejoices among them. The rest blame Zeus, who sits apart, exulting, and watches the slaughter.

Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
Dawn and from the-bed beside lordly Tithonus
ὄρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσι·
rose so-that to-the-immortals light she-might-bring and to-mortals
Ζεὺς δ' Ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
Zeus and Strife sent-forth swift to ships of-the-Achaeans
ἀργαλέην, πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν.
grievous of-war the-portent in hands holding
στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ, 5
she-stood and on Odysseus' huge-hulled ship black
ἥ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε,
which then in the-middle was to-shout to-both-sides
ἠμὲν ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο
both to of-Ajax the-huts of-the-son-of-Telamon
ἠδ' ἐπ' Ἀχιλλῆος, τοί ῥ' ἔσχατα νῆας ἐΐσας
and to of-Achilles who then at-the-ends the-ships balanced
εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν.
drew-up in-manliness trusting and in-the-might of-hands

ἔνθα στᾶσ᾽ ἤϋσε θεὰ μέγα τε δεινόν τε
there standing shouted the-goddess great both dread and
ὄρθι᾽, Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ᾽ ἑκάστῳ
shrill in-the-Achaeans and great strength cast each
καρδίῃ, ἄληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
in-heart unceasing to-war and to-fight
τοῖσι δ᾽ ἄφαρ πόλεμος γλυκίων γένετ᾽ ἠὲ νέεσθαι
for-them and at-once war sweeter became than to-return
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.
in ships hollow dear to native land
Ἀτρεΐδης δ᾽ ἐβόησεν ἰδὲ ζώννυσθαι ἄνωγεν
the-son-of-Atreus and shouted and to-gird-themselves bade
Ἀργείους· ἐν δ᾽ αὐτὸς ἐδύσετο νώροπα χαλκόν.
the-Argives in and himself put-on gleaming bronze
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
greaves indeed first around shins he-put
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
fair with-silver ankle-pieces fitted
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε,
second in-turn a-corselet around chest he-put-on
τόν ποτέ οἱ Κινύρης δῶκε ξεινήϊον εἶναι.
which once to-him Cinyras gave as-a-guest-gift to-be
πεύθετο γὰρ Κύπρονδε μέγα κλέος, οὕνεκ᾽ Ἀχαιοὶ
he-heard for to-Cyprus great report that the-Achaeans
ἐς Τροίην νήεσσιν ἀναπλεύσεσθαι ἔμελλον·
to Troy in-ships to-sail-up were-about
τοὔνεκά οἱ τὸν δῶκε χαριζόμενος βασιλῆϊ.
therefore to-him it he-gave pleasing the-king
τοῦ δ᾽ ἤτοι δέκα οἶμοι ἔσαν μέλανος κυάνοιο,
of-it and truly ten bands were of-dark cyanus

δώδεκα δὲ χρυσοῖο καὶ εἴκοσι κασσιτέροιο·
twelve and of-gold and twenty of-tin
κυάνεοι δὲ δράκοντες ὀρωρέχατο προτὶ δειρὴν
dark-blue and serpents stretched toward the-neck
τρεῖς ἑκάτερθ', ἴρισσιν ἐοικότες, ἅς τε Κρονίων
three on-either-side to-rainbows like which — the-son-of-Cronus
ἐν νέφεϊ στήριξε, τέρας μερόπων ἀνθρώπων.
in cloud fixed a-portent of-mortal men
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος· ἐν δέ οἱ ἧλοι
around and then shoulders he-threw a-sword in and its studs
χρύσειοι πάμφαινον, ἀτὰρ περὶ κουλεὸν ἦεν
golden shone but around a-scabbard was
ἀργύρεον, χρυσέοισιν ἀορτήρεσσιν ἀρηρός.
silver with-golden hangers fitted
ἂν δ' ἕλετ' ἀμφιβρότην πολυδαίδαλον ἀσπίδα θοῦριν,
up and he-took man-covering very-intricate shield furious
καλήν, ἣν πέρι μὲν κύκλοι δέκα χάλκεοι ἦσαν,
fair which round indeed circles ten bronze were
ἐν δέ οἱ ὀμφαλοὶ ἦσαν ἐείκοσι κασσιτέροιο
in and on-it bosses were twenty of-tin
λευκοί, ἐν δὲ μέσοισιν ἔην μέλανος κυάνοιο.
white in and the-middle was of-dark cyanus
τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο
on-it and upon indeed the-Gorgon grim-faced was-set-as-a-crown
δεινὸν δερκομένη, περὶ δὲ Δεῖμός τε Φόβος τε.
dreadfully glaring around and Terror both Rout and

τῆς δ' ἐξ ἀργύρεος τελαμὼν ἦν· αὐτὰρ ἐπ' αὐτοῦ
of-it and from silver the-baldric was but on it
κυάνεος ἐλέλικτο δράκων, κεφαλαὶ δέ οἱ ἦσαν
dark-blue was-coiled a-serpent heads and its were
τρεῖς ἀμφιστρεφέες, ἑνὸς αὐχένος ἐκπεφυυῖαι.
three turned-every-way from-one neck growing
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
head and on two-horned helmet he-put four-plated
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
horsehair-crested dread and the-crest from-above nodded
εἵλετο δ' ἄλκιμα δοῦρε δύω, κεκορυθμένα χαλκῷ,
he-took and valiant spears two tipped with-bronze
ὀξέα· τῆλε δὲ χαλκὸς ἀπ' αὐτόφιν οὐρανὸν εἴσω
sharp far and bronze from them heaven into
λάμπ'· ἐπὶ δ' ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη,
shone on and thundered Athena both and Hera
τιμῶσαι βασιλῆα πολυχρύσοιο Μυκήνης.
honoring the-king of-golden Mycenae
Ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαστος
To-the-charioteer indeed then his-own enjoined each
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθ' ἐπὶ τάφρῳ,
the-horses well in order to-hold-back there at the-ditch
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες
themselves and on-foot with arms armed
ῥώοντ'· ἄσβεστος δὲ βοὴ γένετ' ἠῶθι πρό.
rushed unquenchable and a-cry arose at-dawn before
φθὰν δὲ μέγ' ἱππήων ἐπὶ τάφρῳ κοσμηθέντες,
they-were-first and greatly of-the-horsemen at the-ditch marshaled

ἱππῆες δ' ὀλίγον μετεκίαθον· ἐν δὲ κυδοιμὸν
the-horsemen and a-little followed-after in and an-uproar
ὦρσε κακὸν Κρονίδης, κατὰ δ' ὑψόθεν ἧκεν ἐέρσας
roused evil the-son-of-Cronus down and from-on-high he-sent dews
αἵματι μυδαλέας ἐξ αἰθέρος, οὕνεκ' ἔμελλε
with-blood dripping from the-upper-air because he-was-about
πολλὰς ἰφθίμους κεφαλὰς Ἄϊδι προϊάψειν.
many mighty heads to-Hades to-hurl

Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο,
the-Trojans and in-turn on-the-other-side on the-rise of-the-plain
Ἕκτορά τ' ἀμφὶ μέγαν καὶ ἀμύμονα Πουλυδάμαντα
Hector and around great and blameless Polydamas
Αἰνείαν θ', ὃς Τρωσὶ θεὸς ὣς τίετο δήμῳ,
Aeneas and who among-the-Trojans a-god like was-honored by-the-people
τρεῖς τ' Ἀντηνορίδας, Πόλυβον καὶ Ἀγήνορα δῖον
three and sons-of-Antenor Polybus and Agenor noble
ἠΐθεόν τ' Ἀκάμαντ' ἐπιείκελον ἀθανάτοισιν.
youthful and Acamas like to-the-immortals
Ἕκτωρ δ' ἐν πρώτοισι φέρ' ἀσπίδα πάντοσ' ἐΐσην.
Hector and among the-foremost carried shield on-every-side balanced
οἷος δ' ἐκ νεφέων ἀναφαίνεται οὔλιος ἀστὴρ
as and from the-clouds shows-forth a-baleful star
παμφαίνων, τοτὲ δ' αὖτις ἔδυ νέφεα σκιόεντα,
all-shining then and again it-sinks-in clouds shadowy
ὣς Ἕκτωρ ὁτὲ μέν τε μετὰ πρώτοισι φάνεσκεν,
so Hector at-times indeed — among the-foremost appeared
ἄλλοτε δ' ἐν πυμάτοισι κελεύων· πᾶς δ' ἄρα χαλκῷ
at-other-times and among the-bindmost bidding all and then with-bronze
λάμφ' ὥς τε στεροπὴ πατρὸς Διὸς αἰγιόχοιο.
shone like — lightning of-father Zeus aegis-bearing

Οἱ δ', ὥς τ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν
They and as — reapers facing each-other
ὄγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος κατ' ἄρουραν
the-swath drive of-a-man blessed through the-field
πυρῶν ἢ κριθῶν· τὰ δὲ δράγματα ταρφέα πίπτει·
of-wheat or of-barley they and the-handfuls thick fall
ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες
so the-Trojans and Achaeans upon each-other leaping
δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο.
slew nor either-side thought of-baneful rout
ἴσας δ' ὑσμίνη κεφαλὰς ἔχεν, οἱ δὲ λύκοι ὣς
equal and the-combat heads held they and wolves like
θῦνον· Ἔρις δ' ἄρα χαῖρε πολύστονος εἰσορόωσα·
raged Strife and then rejoiced much-groaning looking-on
οἴη γάρ ῥα θεῶν παρετύγχανε μαρναμένοισιν,
alone for then of-the-gods she-was-present among-the-fighting
οἱ δ' ἄλλοι οὔ σφιν πάρεσαν θεοί, ἀλλὰ ἔκηλοι
they and others not to-them were-present gods but at-ease
σφοῖσιν ἐνὶ μεγάροισι καθήατο, ἧχι ἑκάστῳ
their-own in halls sat where for-each
δώματα καλὰ τέτυκτο κατὰ πτύχας Οὐλύμποιο.
houses fair were-built along the-folds of-Olympus
πάντες δ' ἠτιόωντο κελαινεφέα Κρονίωνα,
all and blamed the-dark-clouded son-of-Cronus
οὕνεκ' ἄρα Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι.
because then for-the-Trojans he-wished glory to-grant
τῶν μὲν ἄρ' οὐκ ἀλέγιζε πατήρ· ὁ δὲ νόσφι λιασθεὶς
them indeed then not cared the-father he and apart withdrawn
τῶν ἄλλων ἀπάνευθε καθέζετο κύδεϊ γαίων,
from-the others apart sat in-glory exulting

εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν
looking-upon of-the-Trojans both the-city and the-ships of-the-Achaeans
χαλκοῦ τε στεροπήν, ὀλλύντας τ' ὀλλυμένους τε.
of-bronze both the-flash slaying and being-slain and

XI.2 · AGAMEMNON'S RAMPAGE

At midday the Achaeans break the Trojan lines. Agamemnon kills Bienor and Oïleus. Like a lion crushing a deer's fawns, he then kills Isus and Antiphus, sons of Priam whom Achilles once captured and ransomed. Peisander and Hippolochus, sons of Antimachus, beg for their lives, but he kills them for their father's counsel to murder Menelaus on his embassy. The Achaeans rout the Trojans, and the empty chariots rattle across the plain, their drivers lying dearer to vultures than to wives.

Ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
While indeed dawn was and was-waxing the-sacred day
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἤπτετο, πῖπτε δὲ λαός·
so-long very of-both the-missiles struck fell and the-people
ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὠπλίσσατο δεῖπνον
when and a-woodcutter indeed man prepares supper
οὔρεος ἐν βήσσῃσιν, ἐπεί τ' ἐκορέσσατο χεῖρας
of-a-mountain in the-glens when — he-has-sated hands
τάμνων δένδρεα μάκρα, ἄδος τέ μιν ἵκετο θυμόν,
cutting trees tall weariness and him comes-upon heart
σίτου τε γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ,
of-food and sweet around mind desire seizes
τῆμος σφῇ ἀρετῇ Δαναοὶ ῥήξαντο φάλαγγας,
then by-their-own valor the-Danaans broke the-ranks

κεκλόμενοι ἑτάροισι κατὰ στίχας· ἐν δ' Ἀγαμέμνων
calling to-the-comrades through the-ranks in and Agamemnon
πρῶτος ὄρουσ', ἕλε δ' ἄνδρα Βιήνορα, ποιμένα λαῶν,
first sprang took and a-man Bienor shepherd of-the-people
αὐτόν, ἔπειτα δ' ἑταῖρον Ὀϊλῆα πλήξιππον.
himself then and the-comrade Oileus driver-of-horses
ἤτοι ὅ γ' ἐξ ἵππων κατεπάλμενος ἀντίος ἔστη·
truly he indeed from the-horses leaping-down facing stood
τὸν δ' ἰθὺς μεμαῶτα μετώπιον ὀξέϊ δουρὶ
him and straight eager on-the-forehead with-sharp spear
νύξ', οὐδὲ στεφάνη δόρυ οἱ σχέθε χαλκοβάρεια,
he-pierced nor the-rim the-spear his stopped heavy-with-bronze
ἀλλὰ δι' αὐτῆς ἦλθε καὶ ὀστέου, ἐγκέφαλος δὲ
but through it went and the-bone the-brain and
ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
within all was-spattered he-subdued and him eager
καὶ τοὺς μὲν λίπεν αὖθι ἄναξ ἀνδρῶν Ἀγαμέμνων
and them indeed left there lord of-men Agamemnon
στήθεσι παμφαίνοντας, ἐπεὶ περίδυσε χιτῶνας·
with-chests gleaming since he-had-stripped-off the-tunics
αὐτὰρ ὁ βῆ ῥ' Ἴσόν τε καὶ Ἄντιφον ἐξεναρίξων,
but he went then Isus both and Antiphus to-strip
υἷε δύω Πριάμοιο, νόθον καὶ γνήσιον, ἄμφω
sons two of-Priam bastard and legitimate both
εἰν ἑνὶ δίφρῳ ἐόντας· ὁ μὲν νόθος ἡνιόχευεν,
in one chariot being he indeed the-bastard drove
Ἄντιφος αὖ παρέβασκε περικλυτός· ὥ ποτ' Ἀχιλλεὺς
Antiphus in-turn stood-beside very-famed whom once Achilles
Ἴδης ἐν κνημοῖσι δίδη μόσχοισι λύγοισι,
of-Ida on the-spurs bound with-supple withies

ποιμαίνοντ᾽ ἐπ᾽ ὄεσσι λαβών, καὶ ἔλυσεν ἀποίνων.
shepherding on sheep having-taken and released for-ransom
δὴ τότε γ᾽ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
indeed then indeed the-son-of-Atreus wide ruling Agamemnon
τὸν μὲν ὑπὲρ μαζοῖο κατὰ στῆθος βάλε δουρί,
the-one indeed above the-breast on the-chest struck with-spear
Ἄντιφον αὖ παρὰ οὖς ἔλασε ξίφει, ἐκ δ᾽ ἔβαλ᾽ ἵππων.
Antiphus in-turn beside the-ear he-struck with-sword out and threw from-the-horses
σπερχόμενος δ᾽ ἀπὸ τοῖιν ἐσύλα τεύχεα καλά,
hastening and from the-two stripped arms fair
γιγνώσκων· καὶ γάρ σφε πάρος παρὰ νηυσὶ θοῇσιν
recognizing(-them) even for them before beside the-ships swift
εἶδεν, ὅτ᾽ ἐξ Ἴδης ἄγαγεν πόδας ὠκὺς Ἀχιλλεύς.
he-saw when from Ida brought(-them) in-feet swift Achilles
ὡς δὲ λέων ἐλάφοιο ταχείης νήπια τέκνα
as and a-lion of-a-deer swift the-infant young
ῥηϊδίως συνέαξε, λαβὼν κρατεροῖσιν ὀδοῦσιν,
easily crushes seizing with-strong teeth
ἐλθὼν εἰς εὐνήν, ἁπαλόν τέ σφ᾽ ἦτορ ἀπηύρα·
coming into the-lair tender and their life takes-away
ἡ δ᾽ εἴ πέρ τε τύχῃσι μάλα σχεδόν, οὐ δύναταί σφι
she and if indeed — happens very near not can them
χραισμεῖν· αὐτὴν γάρ μιν ὑπὸ τρόμος αἰνὸς ἱκάνει·
help herself for her under trembling dread comes-upon
καρπαλίμως δ᾽ ἤϊξε διὰ δρυμὰ πυκνὰ καὶ ὕλην
swiftly and she-darts through thickets dense and forest
σπεύδουσ᾽ ἱδρώουσα κραταιοῦ θηρὸς ὑφ᾽ ὁρμῆς·
hastening sweating of-the-mighty beast under the-onset

ὣς ἄρα τοῖς οὔ τις δύνατο χραισμῆσαι ὄλεθρον
so then them not anyone was-able to-ward-off destruction
Τρώων, ἀλλὰ καὶ αὐτοὶ ὑπ᾽ Ἀργείοισι φέβοντο.
of-the-Trojans but even themselves before the-Argives fled
Αὐτὰρ ὁ Πείσανδρόν τε καὶ Ἱππόλοχον μενεχάρμην,
But he Peisander both and Hippolochus steadfast-in-battle
υἱέας Ἀντιμάχοιο δαΐφρονος, ὅς ῥα μάλιστα
sons of-Antimachus wise who then most
χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα,
gold from-Alexander having-received glorious gifts
οὐκ ἔασχ᾽ Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ,
not allowed Helen to-give to-fair-haired Menelaus
τοῦ περ δὴ δύο παῖδε λάβε κρείων Ἀγαμέμνων
of-him indeed indeed two sons took lord Agamemnon
εἰν ἑνὶ δίφρῳ ἐόντας, ὁμοῦ δ᾽ ἔχον ὠκέας ἵππους·
in one chariot being together and they-held the-swift horses
ἐκ γάρ σφεας χειρῶν φύγον ἡνία σιγαλόεντα,
out for them from-the-hands escaped the-reins glossy
τὼ δὲ κυκηθήτην· ὁ δ᾽ ἐναντίον ὦρτο λέων ὡς
the-two and were-thrown-into-confusion he and facing rose a-lion like
Ἀτρεΐδης· τὼ δ᾽ αὖτ᾽ ἐκ δίφρου γουναζέσθην·
the-son-of-Atreus the-two and in-turn from the-chariot begged-by-the-knees
“ζώγρει, Ἀτρέος υἱέ, σὺ δ᾽ ἄξια δέξαι ἄποινα·
take-alive of-Atreus son you and worthy accept ransom
πολλὰ δ᾽ ἐν Ἀντιμάχοιο δόμοις κειμήλια κεῖται,
many and in of-Antimachus house treasures lie
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
bronze both gold and much-wrought and iron

τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι᾽ ἄποινα,
from-these — to-you would-grant the-father boundless ransom
εἰ νῶϊ ζωοὺς πεπύθοιτ᾽ ἐπὶ νηυσὶν Ἀχαιῶν.᾽᾽
if us-two alive he-should-learn-of at the-ships of-the-Achaeans
Ὣς τώ γε κλαίοντε προσαυδήτην βασιλῆα
So the-two indeed weeping addressed the-king
μειλιχίοις ἐπέεσσιν· ἀμείλικτον δ᾽ ὄπ᾽ ἄκουσαν·
with-gentle words unrelenting and the-voice they-heard
᾽᾽εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἷέες ἐστόν,
if indeed truly of-Antimachus wise sons you-are
ὅς ποτ᾽ ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν,
who once in of-the-Trojans the-assembly Menelaus bade
ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ,
on-an-embassy having-come with godlike Odysseus
αὖθι κατακτεῖναι μηδ᾽ ἐξέμεν ἂψ ἐς Ἀχαιούς,
there to-kill nor to-let-go back to the-Achaeans
νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τείσετε λώβην.᾽᾽
now indeed truly of-your father the-shameful you-shall-pay outrage
Ἦ, καὶ Πείσανδρον μὲν ἀφ᾽ ἵππων ὦσε χαμᾶζε
He-spoke and Peisander indeed from the-horses thrust to-the-ground
δουρὶ βαλὼν πρὸς στῆθος· ὁ δ᾽ ὕπτιος οὔδει ἐρείσθη.
with-the-spear striking on chest he and backward on-the-ground was-thrown
Ἱππόλοχος δ᾽ ἀπόρουσε, τὸν αὖ χαμαὶ ἐξενάριξε,
Hippolochus and sprang-away him in-turn on-the-ground he-stripped
χεῖρας ἀπὸ ξίφεϊ τμήξας ἀπό τ᾽ αὐχένα κόψας,
the-hands off with-the-sword cutting off and the-neck lopping
ὅλμον δ᾽ ὣς ἔσσευε κυλίνδεσθαι δι᾽ ὁμίλου.
a-log and like he-sent(-him) to-roll through the-throng
τοὺς μὲν ἔασ᾽· ὁ δ᾽ ὅθι πλεῖσται κλονέοντο φάλαγγες,
them indeed he-left he and where most were-in-turmoil the-ranks

τῇ ῥ᾽ ἐνόρουσ᾽, ἅμα δ᾽ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
there then he-sprang together and others well-greaved Achaeans
πεζοὶ μὲν πεζοὺς ὄλεκον φεύγοντας ἀνάγκῃ,
foot-soldiers indeed foot-soldiers slew fleeing under-necessity
ἱππεῖς δ᾽ ἱππῆας — ὑπὸ δέ σφισιν ὦρτο κονίη
horsemen and horsemen under and them rose dust
ἐκ πεδίου, τὴν ὦρσαν ἐρίγδουποι πόδες ἵππων —
from the-plain which roused the-loud-thundering feet of-horses
χαλκῷ δηϊόωντες· ἀτὰρ κρείων Ἀγαμέμνων
with-bronze slaying but lord Agamemnon
αἰὲν ἀποκτείνων ἕπετ᾽ Ἀργείοισι κελεύων.
always killing followed the-Argives bidding
ὡς δ᾽ ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ,
as and when fire destructive into unfelled falls forest
πάντῃ τ᾽ εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι
everywhere and whirling the-wind carries they and — the-thickets
πρόρριζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
root-and-all fall pressed of-fire by-the-onset
ὣς ἄρ᾽ ὑπ᾽ Ἀτρεΐδῃ Ἀγαμέμνονι πῖπτε κάρηνα
so then under the-son-of-Atreus Agamemnon fell heads
Τρώων φευγόντων, πολλοὶ δ᾽ ἐριαύχενες ἵπποι
of-the-Trojans fleeing many and high-necked horses
κείν᾽ ὄχεα κροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας
empty chariots rattled along of-war the-bridges
ἡνιόχους ποθέοντες ἀμύμονας· οἱ δ᾽ ἐπὶ γαίῃ
charioteers longing-for blameless they and on earth
κείατο, γύπεσσιν πολὺ φίλτεροι ἢ ἀλόχοισιν.
lay to-vultures much dearer than to-wives

Zeus draws Hector out of the fighting. Agamemnon drives the Trojans past Ilus' tomb to the Scaean gates, killing as a lion kills cattle. From Ida Zeus sends Iris to tell Hector to hold back until Agamemnon is wounded, and then he will give him the power to kill until sunset. Hector rallies the Trojans. Iphidamas, son of Antenor, raised in Thrace by his grandfather Cisses, meets Agamemnon first, and his spear bends on the belt. Agamemnon kills him and strips his armor.

Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης
Hector and out-of missiles withdrew Zeus out-of and dust
ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ·
out-of and man-slaying out-of and blood out-of and uproar
Ἀτρεΐδης δ' ἔπετο σφεδανὸν Δαναοῖσι κελεύων. 165
the-son-of-Atreus and followed vehemently to-the-Danaans bidding
οἱ δὲ παρ' Ἴλου σῆμα παλαιοῦ Δαρδανίδαο
they and past of-Ilus the-tomb ancient son-of-Dardanus
μέσσον κὰπ πεδίον παρ' ἐρινεὸν ἐσσεύοντο
in-the-middle over the-plain past the-fig-tree rushed
ἱέμενοι πόλιος· ὁ δὲ κεκληγὼς ἔπετ' αἰεὶ
making-for the-city he and shouting followed always
Ἀτρεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.
the-son-of-Atreus with-gore and was-spattered hands invincible
ἀλλ' ὅτε δὴ Σκαιάς τε πύλας καὶ φηγὸν ἵκοντο, 170
but when indeed the-Scaean both gates and the-oak they-reached
ἔνθ' ἄρα δὴ ἵσταντο καὶ ἀλλήλους ἀνέμιμνον.
there then indeed they-stood and each-other awaited
οἱ δ' ἔτι κὰμ μέσσον πεδίον φοβέοντο βόες ὥς,
they and still over the-middle plain fled cattle like

ἅς τε λέων ἐφόβησε μολὼν ἐν νυκτὸς ἀμολγῷ
which — a-lion has-routed coming in of-night the-milking-time
πάσας· τῇ δέ τ' ἰῇ ἀναφαίνεται αἰπὺς ὄλεθρος·
all to-her and — one appears sheer destruction
τῆς δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι
of-her and out the-neck breaks seizing with-strong teeth
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει·
first then and — the-blood and the-entrails all gulps-down
ὣς τοὺς Ἀτρεΐδης ἕφεπε κρείων Ἀγαμέμνων,
so them the-son-of-Atreus pursued lord Agamemnon
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἱ δὲ φέβοντο.
always killing the bindmost they and fled
πολλοὶ δὲ πρηνεῖς τε καὶ ὕπτιοι ἔκπεσον ἵππων
many and prone both and backward fell from-the-horses
Ἀτρεΐδεω ὑπὸ χερσί· περιπρὸ γὰρ ἔγχεϊ θῦεν.
of-the-son-of-Atreus under the-hands all-around for with-the-spear he-raged
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλεν ὑπὸ πτόλιν αἰπύ τε τεῖχος
but when indeed soon he-was-about under the-city steep both wall
ἵξεσθαι, τότε δή ῥα πατὴρ ἀνδρῶν τε θεῶν τε
to-come then indeed then the-father of-men both of-gods and
Ἴδης ἐν κορυφῇσι καθέζετο πιδήεσσης,
of-Ida on the-peaks sat many-fountained
οὐρανόθεν καταβάς· ἔχε δ' ἀστεροπὴν μετὰ χερσίν.
from-heaven having-come-down he-held and lightning in hands
Ἶριν δ' ὄτρυνε χρυσόπτερον ἀγγελέουσαν·
Iris and he-urged golden-winged to-carry-the-message
"βάσκ' ἴθι, Ἶρι ταχεῖα, τὸν Ἕκτορι μῦθον ἐνίσπες·
up go Iris swift this to-Hector word tell
ὄφρ' ἂν μέν κεν ὁρᾷ Ἀγαμέμνονα, ποιμένα λαῶν,
while — indeed — he-sees Agamemnon shepherd of-the-people

θύνοντ᾽ ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
raging among the-champions slaying the-ranks of-men
τόφρ᾽ ἀναχωρείτω, τὸν δ᾽ ἄλλον λαὸν ἀνώχθω
so-long let-him-give-ground the and other people let-him-bid
μάρνασθαι δηΐοισι κατὰ κρατερὴν ὑσμίνην.
to-fight with-the-foes through mighty combat
αὐτὰρ ἐπεί κ᾽ ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
but when — either with-spear struck or hit with-an-arrow
εἰς ἵππους ἅλεται, τότε οἱ κράτος ἐγγυαλίξω
into the-horses he-leaps then for-him might I-will-grant
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκηται
to-kill until the-time — the-ships well-benched he-reaches
δύῃ τ᾽ ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.”
sets and the-sun and on darkness sacred comes
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις,
So he-spoke nor disobeyed wind-footed swift Iris
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων ἐς Ἴλιον ἱρήν.
went and down the-Idaean mountains to Ilium sacred
εὗρ᾽ υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
she-found the-son of-Priam wise Hector noble
ἑσταότ᾽ ἔν θ᾽ ἵπποισι καὶ ἅρμασι κολλητοῖσιν·
standing among both horses and chariots well-joined
ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
near and standing addressed in-feet swift Iris
“ Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε,
Hector son of-Priam to-Zeus in-counsel equal
Ζεύς με πατὴρ προέηκε τεΐν τάδε μυθήσασθαι.
Zeus me father sent-forth to-you these-things to-tell
ὄφρ᾽ ἂν μέν κεν ὁρᾷς Ἀγαμέμνονα, ποιμένα λαῶν,
while — indeed — you-see Agamemnon shepherd of-the-people

θύνοντ᾽ ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
raging among the-champions slaying the-ranks of-men
τόφρ᾽ ὑπόεικε μάχης, τὸν δ᾽ ἄλλον λαὸν ἄνωχθι
so-long give-way from-battle the and other people bid
μάρνασθαι δηΐοισι κατὰ κρατερὴν ὑσμίνην.
to-fight with-the-foes through mighty combat
αὐτὰρ ἐπεί κ᾽ ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
but when — either with-spear struck or hit with-an-arrow
εἰς ἵππους ἅλεται, τότε τοι κράτος ἐγγυαλίξει
into the-horses he-leaps then to-you might he-will-grant
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκηαι
to-kill until the-time — the-ships well-benched you-reach
δύῃ τ᾽ ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ."
sets and the-sun and on darkness sacred comes
Ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ἶρις,
She indeed then so having-spoken departed in-feet swift Iris
Ἕκτωρ δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε,
Hector and from the-chariot with arms leapt to-the-ground
πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ,
brandishing and sharp spears through the-host he-went everywhere
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
urging(-them) to-fight he-roused and battle dread
οἱ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν,
they and rallied and facing stood the-Achaeans
Ἀργεῖοι δ᾽ ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας.
the-Argives and on-the-other-side strengthened the-ranks
ἀρτύνθη δὲ μάχη, στὰν δ᾽ ἀντίοι· ἐν δ᾽ Ἀγαμέμνων
was-arrayed and the-battle they-stood and facing in and Agamemnon
πρῶτος ὄρουσ᾽, ἔθελεν δὲ πολὺ προμάχεσθαι ἁπάντων.
first sprang he-wished and far to-fight-in-front of-all

Ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
Tell now to-me Muses Olympian homes having
ὅς τις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίον ἦλθεν
who any indeed first Agamemnon against came
ἢ αὐτῶν Τρώων ἠὲ κλειτῶν ἐπικούρων.
whether themselves of-the-Trojans or of-the-famed allies
Ἰφιδάμας Ἀντηνορίδης, ἠΰς τε μέγας τε,
Iphidamas son-of-Antenor noble both tall and
ὃς τράφη ἐν Θρήκῃ ἐριβώλακι, μητέρι μήλων·
who was-reared in Thrace deep-soiled mother of-flocks
Κισσῆς τόν γ' ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα
Cisses him indeed reared the-house in small being
μητροπάτωρ, ὃς τίκτε Θεανὼ καλλιπάρῃον·
mother's-father who begot Theano fair-cheeked
αὐτὰρ ἐπεί ῥ' ἥβης ἐρικυδέος ἵκετο μέτρον,
but when then of-youth glorious he-reached the-measure
αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅ γε θυγατέρα ἣν·
there him he-kept gave and he indeed daughter his-own
γήμας δ' ἐκ θαλάμοιο μετὰ κλέος ἵκετ' Ἀχαιῶν
having-married and from the-chamber after the-report he-came of-the-Achaeans
σὺν δυοκαίδεκα νηυσὶ κορωνίσιν, αἳ οἱ ἕποντο.
with twelve ships curved which him followed
τὰς μὲν ἔπειτ' ἐν Περκώτῃ λίπε νῆας ἐΐσας,
them indeed then in Percote he-left the-ships balanced
αὐτὰρ ὁ πεζὸς ἐὼν ἐς Ἴλιον εἰληλούθει·
but he on-foot being to Ilium had-come
ὅς ῥα τότ' Ἀτρεΐδεω Ἀγαμέμνονος ἀντίον ἦλθεν.
who then then of-the-son-of-Atreus Agamemnon against came
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
they and when indeed near were against each-other going

Ἀτρεΐδης μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχος,
the-son-of-Atreus indeed missed aside and his was-turned the-spear
Ἰφιδάμας δὲ κατὰ ζώνην θώρηκος ἔνερθε
Iphidamas and at the-belt of-the-corselet below
νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας·
pierced on and himself leaned with-heavy hand trusting
οὐδ' ἔτορε ζωστῆρα παναίολον, ἀλλὰ πολὺ πρὶν
nor pierced the-belt all-gleaming but much before
ἀργύρῳ ἀντομένη μόλιβος ὣς ἐτράπετ' αἰχμή.
on-the-silver meeting lead like was-turned the-point
καὶ τό γε χειρὶ λαβὼν εὐρὺ κρείων Ἀγαμέμνων
and it indeed with-hand taking wide ruling Agamemnon
ἕλκ' ἐπὶ οἷ μεμαὼς ὥς τε λίς, ἐκ δ' ἄρα χειρὸς
dragged to himself eager like — a-lion out and then from-the-hand
σπάσσατο· τὸν δ' ἄορι πλῆξ' αὐχένα, λῦσε δὲ γυῖα.
he-pulled(-it) him and with-the-sword struck on-the-neck loosed and limbs
ὣς ὁ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον
so he indeed there falling slept a-bronze sleep
οἰκτρός, ἀπὸ μνηστῆς ἀλόχου, ἀστοῖσιν ἀρήγων,
pitiful from wedded wife the-townsmen helping
κουριδίης, ἧς οὔ τι χάριν ἴδε, πολλὰ δ' ἔδωκε·
wedded of-whom not at-all thanks he-saw many and he-gave
πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη,
first a-hundred cattle he-gave then and a-thousand promised
αἶγας ὁμοῦ καὶ ὄϊς, τά οἱ ἄσπετα ποιμαίνοντο.
goats together and sheep which for-him countless were-shepherded
δὴ τότε γ' Ἀτρεΐδης Ἀγαμέμνων ἐξενάριξε,
indeed then indeed the-son-of-Atreus Agamemnon stripped(-him)
βῆ δὲ φέρων ἀν' ὅμιλον Ἀχαιῶν τεύχεα καλά.
went and carrying through the-throng of-the-Achaeans the-arms fair

Iphidamas' eldest brother Coön stabs Agamemnon through the forearm, and Agamemnon kills him over his brother's body. He fights on until the wound dries, and then pain drives into him like a woman's labor pangs. He is driven back to the ships. Hector sees him go and leads the Trojans forward, killing nine chiefs and many more. Odysseus calls Diomedes to his side, and Diomedes warns that Zeus favors the Trojans. They kill Thymbraeus, Molion, Merops' two sons, Hippodamus, and Hypeirochus.

Τὸν δ' ὡς οὖν ἐνόησε Κόων, ἀριδείκετος ἀνδρῶν,
Him and when then noticed Coön conspicuous among-men
πρεσβυγενὴς Ἀντηνορίδης, κρατερόν ῥά ἑ πένθος
eldest-born son-of-Antenor mighty then him grief
ὀφθαλμοὺς ἐκάλυψε κασιγνήτοιο πεσόντος.
the-eyes covered of-his-brother fallen
στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθὼν Ἀγαμέμνονα δῖον,
stood and aside with spear unseen Agamemnon noble
νύξε δέ μιν κατὰ χεῖρα μέσην ἀγκῶνος ἔνερθε,
stabbed and him on the-arm middle the-elbow below
ἀντικρὺ δὲ διέσχε φαεινοῦ δουρὸς ἀκωκή.
straight-through and passed of-the-shining spear the-point
ῥίγησέν τ' ἄρ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
shuddered and then thereafter lord of-men Agamemnon
ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης ἠδὲ πτολέμοιο,
but not-even so ceased from-combat and war
ἀλλ' ἐπόρουσε Κόωνι ἔχων ἀνεμοτρεφὲς ἔγχος.
but leapt-at Coön holding wind-nurtured spear

ἤτοι ὁ Ἰφιδάμαντα κασίγνητον καὶ ὄπατρον
truly he Iphidamas brother and of-the-same-father
ἕλκε ποδὸς μεμαώς, καὶ ἀΰτει πάντας ἀρίστους·
dragged by-the-foot eager and shouted-to all the-best
τὸν δ' ἕλκοντ' ἀν' ὅμιλον ὑπ' ἀσπίδος ὀμφαλοέσσης
him and dragging through the-throng under the-shield bossed
οὔτησε ξυστῷ χαλκήρεϊ, λῦσε δὲ γυῖα·
he-wounded with-the-spear bronze-tipped loosed and limbs
τοῖο δ' ἐπ' Ἰφιδάμαντι κάρη ἀπέκοψε παραστάς.
his and over Iphidamas the-head he-cut-off standing-by
ἔνθ' Ἀντήνορος υἷες ὑπ' Ἀτρεΐδῃ βασιλῆϊ
there of-Antenor the-sons under the-son-of-Atreus king
πότμον ἀναπλήσαντες ἔδυν δόμον Ἄϊδος εἴσω.
fate fulfilling went-down the-house of-Hades within
Αὐτὰρ ὁ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν
But he of-the other went-ranging-over the-ranks of-men
ἔγχεϊ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισιν,
with-spear both with-sword and great and with-stones
ὄφρα οἱ αἷμ' ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς.
while to-him the-blood still warm welled-up from the-wound
αὐτὰρ ἐπεὶ τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα,
but when the indeed wound grew-dry ceased and the-blood
ὀξεῖαι δ' ὀδύναι δῦνον μένος Ἀτρεΐδαο.
sharp and pains entered the-might of-the-son-of-Atreus
ὡς δ' ὅτ' ἂν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα,
as and when — in-labor holds a-dart sharp a-woman
δριμύ, τό τε προϊεῖσι μογοστόκοι Εἰλείθυιαι,
piercing which — send-forth the-birth-helping Eileithyiae
Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι,
of-Hera daughters bitter pangs holding

ὣς ὀξεῖ᾽ ὀδύναι δῦνον μένος Ἀτρεΐδαο.
so sharp pains entered the-might of-the-son-of-Atreus
ἐς δίφρον δ᾽ ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε
into the-chariot and he-sprang and the-charioteer enjoined
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· ἤχθετο γὰρ κῆρ.
the-ships to hollow to-drive was-pained for the-heart
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
he-shouted and piercingly to-the-Danaans calling
“ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
O friends of-the-Argives leaders and rulers
ὑμεῖς μὲν νῦν νηυσὶν ἀμύνετε ποντοπόροισι
you indeed now from-the-ships ward-off seafaring
φύλοπιν ἀργαλέην, ἐπεὶ οὐκ ἐμὲ μητίετα Ζεὺς
strife grievous since not me counselor Zeus
εἴασε Τρώεσσι πανημέριον πολεμίζειν.”
allowed with-the-Trojans all-day to-fight
Ὣς ἔφαθ᾽, ἡνίοχος δ᾽ ἵμασεν καλλίτριχας ἵππους
So he-spoke the-charioteer and lashed the-fair-maned horses
νῆας ἔπι γλαφυράς· τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην·
the-ships to hollow they-two and not unwilling flew
ἄφρεον δὲ στήθεα, ῥαίνοντο δὲ νέρθε κονίῃ,
they-foamed and the-chests were-spattered and below with-dust
τειρόμενον βασιλῆα μάχης ἀπάνευθε φέροντες.
the-worn king from-battle apart carrying
Ἕκτωρ δ᾽ ὡς ἐνόησ᾽ Ἀγαμέμνονα νόσφι κιόντα,
Hector and when noticed Agamemnon away going
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
to-the-Trojans both and to-the-Lycians called loudly shouting
“Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
Trojans and Lycians and Dardanians close-fighters

ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
men be friends be-mindful and of-furious courage
οἴχετ' ἀνὴρ ὥριστος, ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκε
is-gone the-man best to-me and great glory has-given
Ζεὺς Κρονίδης· ἀλλ' ἰθὺς ἐλαύνετε μώνυχας ἵππους
Zeus son-of-Cronus but straight drive the-single-hoofed horses
ἰφθίμων Δαναῶν, ἵν' ὑπέρτερον εὖχος ἄρησθε."
of-the-mighty Danaans that higher glory you-may-win
Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken he-roused the-might and spirit of-each
ὡς δ' ὅτε πού τις θηρητὴρ κύνας ἀργιόδοντας
as and when somewhere some hunter hounds white-toothed
σεύῃ ἐπ' ἀγροτέρῳ συῒ καπρίῳ ἠὲ λέοντι,
sets on wild boar a-tusked or a-lion
ὣς ἐπ' Ἀχαιοῖσιν σεῦε Τρῶας μεγαθύμους
so on the-Achaeans set the-Trojans great-hearted
Ἕκτωρ Πριαμίδης, βροτολοιγῷ ἶσος Ἄρηϊ.
Hector son-of-Priam to-man-slaying equal Ares
αὐτὸς δ' ἐν πρώτοισι μέγα φρονέων ἐβεβήκει,
himself and among the-foremost greatly proud strode
ἐν δ' ἔπεσ' ὑσμίνῃ ὑπεραΐϊ ἶσος ἀέλλῃ,
in and he-fell-upon the-combat to-a-high-blowing like gale
ἥ τε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει.
which — leaping-down the-violet-dark sea stirs
Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξεν
Then whom first whom and last did-he-slay
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν;
Hector son-of-Priam when to-him Zeus glory gave
Ἀσαῖον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ὀπίτην,
Asaeus indeed first and Autonous and Opites

καὶ Δόλοπα Κλυτίδην καὶ Ὀφέλτιον ἠδ' Ἀγέλαον,
and Dolops son-of-Clytius and Opheltius and Agelaus
Αἴσυμνόν τ' Ὦρόν τε καὶ Ἱππόνοον μενεχάρμην.
Aesymnus and Orus both and Hipponous steadfast-in-battle
τοὺς ἄρ' ὅ γ' ἡγεμόνας Δαναῶν ἕλεν, αὐτὰρ ἔπειτα
these then he indeed leaders of-the-Danaans took but then
πληθύν, ὡς ὁπότε νέφεα Ζέφυρος στυφελίξῃ
the-multitude as when the-clouds the-west-wind batters
ἀργεστᾶο Νότοιο, βαθείῃ λαίλαπι τύπτων·
of-the-clearing of-the-south-wind with-a-deep squall striking
πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται, ὑψόσε δ' ἄχνη
much and swollen the-wave rolls on-high and the-spray
σκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆς·
is-scattered from the-wind wandering the-blast
ὣς ἄρα πυκνὰ καρήαθ' ὑφ' Ἕκτορι δάμνατο λαῶν.
so then thick the-heads under Hector were-subdued of-the-host
Ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
Then — ruin would-have-been and helpless deeds would-have-happened
καί νύ κεν ἐν νήεσσι πέσον φεύγοντες Ἀχαιοί,
and now — on the-ships had-fallen fleeing the-Achaeans
εἰ μὴ Τυδεΐδῃ Διομήδεϊ κέκλετ' Ὀδυσσεύς·
if not to-the-son-of-Tydeus Diomedes called Odysseus
"Τυδεΐδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;
son-of-Tydeus what having-suffered have-we-forgotten of-furious courage
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵσταο· δὴ γὰρ ἔλεγχος
but come here friend by me stand surely for disgrace
ἔσσεται εἴ κεν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ."
it-will-be if — the-ships takes helmet-flashing Hector

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·
Him and answering addressed mighty Diomedes
"ἤτοι ἐγὼ μενέω καὶ τλήσομαι· ἀλλὰ μίνυνθα
truly I will-stay and will-endure but briefly
ἡμέων ἔσσεται ἦδος, ἐπεὶ νεφεληγερέτα Ζεὺς
of-us will-be the-gain since cloud-gatherer Zeus
Τρωσὶν δὴ βόλεται δοῦναι κράτος ἠέ περ ἡμῖν."
to-the-Trojans surely wishes to-give power than indeed to-us
320 Ἦ, καὶ Θυμβραῖον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε,
He-spoke and Thymbraeus indeed from the-horses he-thrust to-the-ground
δουρὶ βαλὼν κατὰ μαζὸν ἀριστερόν· αὐτὰρ Ὀδυσσεὺς
with-the-spear hitting on breast left but Odysseus
ἀντίθεον θεράποντα Μολίονα τοῖο ἄνακτος.
godlike attendant Molion of-that lord
τοὺς μὲν ἔπειτ' εἴασαν, ἐπεὶ πολέμου ἀπέπαυσαν·
them indeed then they-left since from-war they-had-stopped(-them)
τὼ δ' ἀν' ὅμιλον ἰόντε κυδοίμεον, ὡς ὅτε κάπρω
they-two and through the-throng going made-havoc as when boars-two
325 ἐν κυσὶ θηρευτῇσι μέγα φρονέοντε πέσητον·
among hounds hunting greatly proud fall
ὣς ὄλεκον Τρῶας πάλιν ὀρμένω· αὐτὰρ Ἀχαιοὶ
so they-slew the-Trojans back rushing but the-Achaeans
ἀσπασίως φεύγοντες ἀνέπνεον Ἕκτορα δῖον.
gladly fleeing took-breath-from Hector noble

Ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω,
Then they-took a-chariot both and men-two of-the-people best
υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων
sons two of-Merops of-Percote who beyond all
ᾔδεε μαντοσύνας, οὐδὲ οὗς παῖδας ἔασκε
knew prophecies nor his sons would-allow
στείχειν ἐς πόλεμον φθισήνορα· τὼ δέ οἱ οὔ τι
to-go into war man-destroying they-two and to-him not at-all
πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
obeyed the-fates for led of-black death
τοὺς μὲν Τυδεΐδης δουρικλειτὸς Διομήδης
them indeed the-son-of-Tydeus spear-famed Diomedes
θυμοῦ καὶ ψυχῆς κεκαδὼν κλυτὰ τεύχε' ἀπηύρα·
of-spirit and of-life depriving the-famous arms took
Ἱππόδαμον δ' Ὀδυσεὺς καὶ Ὑπείροχον ἐξενάριξεν.
Hippodamus and Odysseus and Hypeirochus slew

XI.5 · DIOMEDES WOUNDED

Zeus holds the battle even. Diomedes' spear stuns Hector, who escapes. Paris, leaning on Ilus' tomb, shoots Diomedes through the foot, and Diomedes drives back to the ships. Alone, Odysseus resolves to stand; the Trojans close around him like hounds around a boar, and Socus comes to defend his brother Charops.

Ἔνθα σφιν κατὰ ἶσα μάχην ἐτάνυσσε Κρονίων
Then for-them evenly — the-battle strained the-son-of-Cronus
ἐξ Ἴδης καθορῶν· τοὶ δ' ἀλλήλους ἐνάριζον.
from Ida looking-down they and each-other slew

ἤτοι Τυδέος υἱὸς Ἀγάστροφον οὖτασε δουρὶ
truly of-Tydeus the-son Agastrophus wounded with-the-spear
Παιονίδην ἥρωα κατ᾽ ἰσχίον· οὐ δέ οἱ ἵπποι
son-of-Paeon the-hero on the-hip not and to-him the-horses
ἐγγὺς ἔσαν προφυγεῖν, ἀάσατο δὲ μέγα θυμῷ.
near were to-flee he-was-blinded and greatly in-heart
τοὺς μὲν γὰρ θεράπων ἀπάνευθ᾽ ἔχεν, αὐτὰρ ὁ πεζὸς
them indeed for the-attendant apart held but he on-foot
θῦνε διὰ προμάχων, ἧος φίλον ὤλεσε θυμόν.
raged through the-champions until his-own he-lost life
Ἕκτωρ δ᾽ ὀξὺ νόησε κατὰ στίχας, ὦρτο δ᾽ ἐπ᾽ αὐτοὺς
Hector and sharply noticed through the-ranks rushed and at them
κεκλήγων· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες.
shouting together and of-the-Trojans followed the-battalions
τὸν δὲ ἰδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης,
him and seeing shuddered at-the-war-cry good Diomedes
αἶψα δ᾽ Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα·
quickly and Odysseus addressed near being
“νῶϊν δὴ τόδε πῆμα κυλίνδεται, ὄβριμος Ἕκτωρ·
on-us-two surely this bane is-rolling mighty Hector
ἀλλ᾽ ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες.”
but come indeed let-us-stand and ward-him-off staying
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
He-spoke then and poising sent-forth long-shadowed spear
καὶ βάλεν, οὐδ᾽ ἀφάμαρτε, τιτυσκόμενος κεφαλῆφιν,
and bit nor missed aiming at-the-head
ἄκρην κὰκ κόρυθα· πλάγχθη δ᾽ ἀπὸ χαλκόφι χαλκός,
top on the-helmet was-turned and from bronze bronze

οὐδ᾽ ἵκετο χρόα καλόν· ἐρύκακε γὰρ τρυφάλεια
nor reached the-skin fair kept-it-off for the-helmet
τρίπτυχος αὐλῶπις, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων.
three-layered with-tube which to-him gave Phoebus Apollo
Ἕκτωρ δ᾽ ὦκ᾽ ἀπέλεθρον ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ,
Hector and swiftly a-long-way ran-back mingled and with-the-throng
στῆ δὲ γνὺξ ἐριπὼν καὶ ἐρείσατο χειρὶ παχείῃ
stood and on-knee falling and propped-himself with-hand stout
γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψεν.
on-the-earth about and the-eyes black night covered
ὄφρα δὲ Τυδεΐδης μετὰ δούρατος ᾤχετ᾽ ἐρωὴν
while and the-son-of-Tydeus after of-the-spear went the-cast
τῆλε διὰ προμάχων, ὅθι οἱ καταείσατο γαίης,
far through the-champions where to-him sank-into the-earth
τόφρ᾽ Ἕκτωρ ἔμπνυτο, καὶ ἂψ ἐς δίφρον ὀρούσας
so-long Hector revived and back into the-chariot leaping
ἐξέλασ᾽ ἐς πληθύν, καὶ ἀλεύατο κῆρα μέλαιναν.
drove into the-multitude and avoided doom black
δουρὶ δ᾽ ἐπαΐσσων προσέφη κρατερὸς Διομήδης·
with-spear and rushing-at addressed mighty Diomedes
“ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι
out again now you-escaped death dog truly — to-you near
ἦλθε κακόν· νῦν αὖτέ σ᾽ ἐρύσατο Φοῖβος Ἀπόλλων,
came evil now again you saved Phoebus Apollo
ᾧ μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
to-whom you-must pray going into the-thud of-javelins
ἦ θήν σ᾽ ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
truly truly you I-will-finish-off indeed even later meeting

εἴ πού τις καὶ ἔμοιγε θεῶν ἐπιτάρροθός ἐστι.
if somewhere any also to-me of-gods helper is
νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὅν κε κιχείω."
now again the others I-will-go-after whom — I-overtake
Ἦ, καὶ Παιονίδην δουρικλυτὸν ἐξενάριζεν.
He-spoke and the-son-of-Paeon spear-famed began-to-strip
αὐτὰρ Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
but Alexander of-Helen husband lovely-haired
Τυδεΐδῃ ἔπι τόξα τιταίνετο, ποιμένι λαῶν,
the-son-of-Tydeus at the-bow strained shepherd of-the-people
στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
against-the-pillar leaning man-made on the-tomb
Ἴλου Δαρδανίδαο, παλαιοῦ δημογέροντος.
of-Ilus son-of-Dardanus ancient elder-of-the-people
ἤτοι ὁ μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο
truly he indeed the-corselet of-Agastrophus mighty
αἴνυτ' ἀπὸ στήθεσφι παναίολον ἀσπίδα τ' ὤμων
was-taking from the-chest all-gleaming the-shield and from-the-shoulders
καὶ κόρυθα βριαρήν· ὁ δὲ τόξου πῆχυν ἄνελκε
and the-helmet heavy he and of-the-bow the-grip drew-back
καὶ βάλεν, οὐδ' ἄρα μιν ἅλιον βέλος ἔκφυγε χειρός,
and hit nor then him vain the-dart escaped from-hand
ταρσὸν δεξιτεροῖο ποδός· διὰ δ' ἀμπερὲς ἰὸς
the-flat of-the-right foot through and right-through the-arrow
ἐν γαίῃ κατέπηκτο· ὁ δὲ μάλα ἡδὺ γελάσσας
in the-earth was-fixed he and very sweetly laughing
ἐκ λόχου ἀμπήδησε καὶ εὐχόμενος ἔπος ηὔδα·
from ambush leapt-up and boasting word spoke

"βέβληαι, οὐδ' ἄλιον βέλος ἔκφυγεν· ὡς ὄφελόν τοι
you-are-bit nor vain the-dart escaped how I-should to-you
νείατον ἐς κενεῶνα βαλὼν ἐκ θυμὸν ἑλέσθαι.
lowest in the-flank hitting out life have-taken
οὕτω κεν καὶ Τρῶες ἀνέπνευσαν κακότητος,
thus — also the-Trojans would-have-taken-breath from-misery
οἵ τέ σε πεφρίκασι λέονθ' ὡς μηκάδες αἶγες."
who — you dread a-lion as bleating goats
Τὸν δ' οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης·
Him and not daunted addressed mighty Diomedes
"τοξότα, λωβητήρ, κέρᾳ ἀγλαέ, παρθενοπῖπα,
archer insulter in-your-horn glorious girl-ogler
εἰ μὲν δὴ ἀντίβιον σὺν τεύχεσι πειρηθείης,
if indeed truly face-to-face with arms you-should-make-trial
οὐκ ἄν τοι χραίσμῃσι βιὸς καὶ ταρφέες ἰοί·
not — to-you would-avail the-bow and thick arrows
νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως.
now and me having-scratched the-flat of-the-foot you-boast idly
οὐκ ἀλέγω, ὡς εἴ με γυνὴ βάλοι ἢ πάϊς ἄφρων·
not I-care as if me a-woman hit or a-child senseless
κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.
blunt for the-dart of-a-man cowardly worthless
ἦ τ' ἄλλως ὑπ' ἐμεῖο, καὶ εἴ κ' ὀλίγον περ ἐπαύρῃ,
truly — otherwise from me even if — a-little indeed it-touch
ὀξὺ βέλος πέλεται, καὶ ἀκήριον αἶψα τίθησι.
sharp the-dart is and lifeless quickly makes
τοῦ δὲ γυναικὸς μέν τ' ἀμφίδρυφοί εἰσι παρειαί,
his and of-the-wife indeed — both-torn are the-cheeks

παῖδες δ' ὀρφανικοί· ὁ δέ θ' αἵματι γαῖαν ἐρεύθων
the-children and orphaned he and — with-blood the-earth reddening
πύθεται, οἰωνοὶ δὲ περὶ πλέες ἠὲ γυναῖκες."
rots birds and around more than women
Ὣς φάτο, τοῦ δ' Ὀδυσεὺς δουρικλυτὸς ἐγγύθεν ἐλθὼν
So he-spoke him and Odysseus spear-famed near coming
ἔστη πρόσθ'· ὁ δ' ὄπισθε καθεζόμενος βέλος ὠκὺ
stood before he and behind sitting the-dart swift
ἐκ ποδὸς ἕλκ', ὀδύνη δὲ διὰ χροὸς ἦλθ' ἀλεγεινή.
from the-foot drew pain and through the-flesh came grievous
ἐς δίφρον δ' ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε
into the-chariot and he-sprang and the-charioteer enjoined
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· ἤχθετο γὰρ κῆρ.
the-ships to hollow to-drive was-pained for the-heart
Οἰώθη δ' Ὀδυσεὺς δουρικλυτός, οὐδέ τις αὐτῷ
Was-left-alone and Odysseus spear-famed nor any him
Ἀργείων παρέμεινεν, ἐπεὶ φόβος ἔλλαβε πάντας·
of-the-Argives stayed-beside since rout seized all
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-said to his great-hearted spirit
"ὤ μοι ἐγώ, τί πάθω; μέγα μὲν κακὸν αἴ κε φέβωμαι
ah me I what shall-I-suffer great indeed evil if — I-flee
πληθὺν ταρβήσας· τὸ δὲ ῥίγιον αἴ κεν ἁλώω
the-multitude fearing this and worse if — I-am-caught
μοῦνος· τοὺς δ' ἄλλους Δαναοὺς ἐφόβησε Κρονίων.
alone the and other Danaans routed the-son-of-Cronus
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
but why to-me these-things dear debated heart
οἶδα γὰρ ὅττι κακοὶ μὲν ἀποίχονται πολέμοιο,
I-know for that cowards indeed go-away from-war

ὃς δέ κ᾽ ἀριστεύῃσι μάχῃ ἔνι, τὸν δὲ μάλα χρεὼ
who but — is-best battle in him and very need
ἑστάμεναι κρατερῶς, ἤ τ᾽ ἔβλητ᾽ ἤ τ᾽ ἔβαλ᾽ ἄλλον.᾽᾽ 410
to-stand mightily either — he-is-hit or — hit another
Ὣς ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
While he this pondered in mind and in spirit
τόφρα δ᾽ ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων,
so-long and against of-the-Trojans ranks came shield-bearing
ἔλσαν δ᾽ ἐν μέσσοισι, μετὰ σφίσι πῆμα τιθέντες.
they-hemmed and in the-middle among themselves bane setting
ὡς δ᾽ ὅτε κάπριον ἀμφὶ κύνες θαλεροί τ᾽ αἰζηοὶ
as and when a-boar around hounds lusty and young-men
σεύωνται, ὁ δέ τ᾽ εἶσι βαθείης ἐκ ξυλόχοιο 415
rush he and — goes deep out-of thicket
θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσσιν,
whetting white tusk in curved jaws
ἀμφὶ δέ τ᾽ ἀΐσσονται, ὑπαὶ δέ τε κόμπος ὀδόντων
around and — they-dart under and — gnashing of-teeth
γίγνεται, οἱ δὲ μένουσιν ἄφαρ δεινόν περ ἐόντα,
arises they and stand-fast at-once dread though being
ὣς ῥα τότ᾽ ἀμφ᾽ Ὀδυσῆα Διΐ φίλον ἐσσεύοντο
so then then around Odysseus to-Zeus dear rushed
Τρῶες· ὁ δὲ πρῶτον μὲν ἀμύμονα Δηϊοπίτην 420
the-Trojans he and first indeed blameless Deïopites
οὔτασεν ὦμον ὕπερθεν ἐπάλμενος ὀξέϊ δουρί,
wounded the-shoulder from-above leaping with-sharp spear
αὐτὰρ ἔπειτα Θόωνα καὶ Ἔννομον ἐξενάριξε.
but then Thoön and Ennomus slew
Χερσιδάμαντα δ᾽ ἔπειτα, καθ᾽ ἵππων ἀΐξαντα,
Chersidamas and then from the-horses leaping-down

δουρὶ κατὰ πρότμησιν ὑπ᾽ ἀσπίδος ὀμφαλοέσσης
with-spear at the-navel under the-shield bossed
νύξεν· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
he-stabbed he and in the-dust falling clutched the-earth with-the-palm
τοὺς μὲν ἔασ᾽, ὁ δ᾽ ἄρ᾽ Ἱππασίδην Χάροπ᾽ οὔτασε δουρί,
them indeed he-left he and then son-of-Hippasus Charops wounded with-the-spear
αὐτοκασίγνητον εὐηφενέος Σώκοιο.
the-own-brother of-wealthy Socus
τῷ δ᾽ ἐπαλεξήσων Σῶκος κίεν, ἰσόθεος φώς,
him and to-defend Socus came godlike man
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν
stood and very near going and him to speech said
“ὦ Ὀδυσεῦ πολύαινε, δόλων ἆτ᾽ ἠδὲ πόνοιο,
O Odysseus much-praised of-wiles insatiate and of-toil
σήμερον ἢ δοιοῖσιν ἐπεύξεαι Ἱππασίδῃσι,
today either over-two you-will-boast sons-of-Hippasus
τοιώδ᾽ ἄνδρε κατακτείνας καὶ τεύχε᾽ ἀπούρας,
such men-two having-killed and the-arms having-stripped
ἤ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς.”
or — my under spear struck away life you-lose

Socus' spear tears Odysseus' side, but Athena keeps it from his vitals. Odysseus kills Socus as he turns to run and taunts him that birds will tear his corpse. He pulls out the spear, and the Trojans close in as he gives ground and shouts three times. Menelaus hears and brings Ajax, who scatters the Trojans like jackals from a wounded stag. Ajax routs them along the plain like a winter torrent. Paris wounds the healer Machaon, and Idomeneus asks Nestor to carry him to the ships.

Ὣς εἰπὼν οὔτησε κατ' ἀσπίδα πάντοσ' ἐΐσην.
So having-spoken he-wounded on the-shield on-every-side balanced
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
through indeed the-shield went the-shining mighty spear
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο,
and through the-corselet richly-wrought was-driven
πάντα δ' ἀπὸ πλευρῶν χρόα ἔργαθεν, οὐδ' ἔτ' ἔασε
all and from the-ribs the-skin it-tore nor yet allowed
Παλλὰς Ἀθηναίη μιχθήμεναι ἔγκασι φωτός.
Pallas Athena to-mingle with-the-bowels of-the-man
γνῶ δ' Ὀδυσεὺς ὅ οἱ οὔ τι τέλος κατακαίριον ἦλθεν,
knew and Odysseus that for-him not at-all the-end fatal had-come
ἂψ δ' ἀναχωρήσας Σῶκον πρὸς μῦθον ἔειπεν·
back and withdrawing to-Socus to speech said
"ἆ δείλ', ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος.
ah wretch truly very indeed you overtakes sheer destruction
ἤτοι μέν ῥ' ἔμ' ἔπαυσας ἐπὶ Τρώεσσι μάχεσθαι·
truly indeed — me you-have-stopped against the-Trojans to-fight

σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
for-you and I here declare slaughter and doom black
ἤματι τῷδ' ἔσσεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα
on-day this to-be my and under spear subdued
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ."
glory to-me to-give the-soul and to-Hades of-famous-horses
Ἦ, καὶ ὁ μὲν φύγαδ' αὖτις ὑποστρέψας ἐβεβήκει,
He-spoke and he indeed in-flight back turning had-gone
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
him and turned-about in-the-back in the-spear he-fixed
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε,
the-shoulders between through and the-chest drove
δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο δῖος Ὀδυσσεύς·
he-thudded and falling he and boasted noble Odysseus
"ὦ Σῶχ', Ἱππάσου υἱὲ δαΐφρονος ἱπποδάμοιο,
O Socus of-Hippasus son wise horse-taming
φθῆ σε τέλος θανάτοιο κιχήμενον, οὐδ' ὑπάλυξας.
has-overtaken you the-end of-death caught nor you-escaped
ἆ δείλ', οὐ μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ
ah wretch not indeed for-you indeed father and queenly mother
ὄσσε καθαιρήσουσι θανόντι περ, ἀλλ' οἰωνοὶ
the-eyes will-close dead though but birds
ὠμησταὶ ἐρύουσι, περὶ πτερὰ πυκνὰ βαλόντες.
raw-eating will-tear around wings thick beating
αὐτὰρ ἔμ', εἴ κε θάνω, κτεριοῦσί γε δῖοι Ἀχαιοί."
but me if — I-die will-give-burial indeed noble Achaeans
Ὣς εἰπὼν Σώκοιο δαΐφρονος ὄβριμον ἔγχος
So having-spoken of-Socus wise the-mighty spear
ἔξω τε χροὸς ἕλκε καὶ ἀσπίδος ὀμφαλοέσσης·
out both of-the-flesh he-drew and of-the-shield bossed

αἷμα δέ οἱ σπασθέντος ἀνέσσυτο, κῆδε δὲ θυμόν.
blood and for-him drawn-out spurted-up it-troubled and the-heart
Τρῶες δὲ μεγάθυμοι ὅπως ἴδον αἷμ' Ὀδυσῆος,
Trojans and great-hearted when saw the-blood of-Odysseus
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν. 460
calling-to-one-another through the-throng at him all went
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, αὖε δ' ἑταίρους.
but he indeed backward gave-way shouted and to-his-comrades
τρὶς μὲν ἔπειτ' ἤϋσεν ὅσον κεφαλὴ χάδε φωτός,
thrice indeed then he-shouted as-much-as a-head held of-a-man
τρὶς δ' ἄϊεν ἰάχοντος ἀρηΐφιλος Μενέλαος.
thrice and heard shouting dear-to-Ares Menelaus
αἶψα δ' ἄρ' Αἴαντα προσεφώνεεν ἐγγὺς ἐόντα·
quickly and then Ajax addressed near being
"Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, 465
Ajax Zeus-born Telamonian lord of-the-people
ἀμφί μ' Ὀδυσσῆος ταλασίφρονος ἵκετ' ἀϋτή,
around me of-Odysseus steadfast came the-cry
τῷ ἰκέλη ὡς εἴ ἑ βιῴατο μοῦνον ἐόντα
to-him like as if him they-overpowered alone being
Τρῶες ἀποτμήξαντες ἐνὶ κρατερῇ ὑσμίνῃ.
the-Trojans cutting-off in mighty combat
ἀλλ' ἴομεν καθ' ὅμιλον· ἀλεξέμεναι γὰρ ἄμεινον.
but let-us-go through the-throng to-defend for better
δείδω μή τι πάθῃσιν ἐνὶ Τρώεσσι μονωθείς, 470
I-fear lest — he-suffer among the-Trojans left-alone
ἐσθλὸς ἐών, μεγάλη δὲ ποθὴ Δαναοῖσι γένηται."
brave being great and longing for-the-Danaans arise

Ὣς εἰπὼν ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
So having-spoken he indeed led he and with followed godlike man
εὗρον ἔπειτ' Ὀδυσῆα Διῒ φίλον· ἀμφὶ δ' ἄρ' αὐτὸν
they-found then Odysseus to-Zeus dear about and then him
Τρῶες ἔπονθ' ὡς εἴ τε δαφοινοὶ θῶες ὄρεσφιν
the-Trojans followed as if — tawny jackals in-the-mountains
ἀμφ' ἔλαφον κεραὸν βεβλημένον, ὅν τ' ἔβαλ' ἀνὴρ
about a-stag horned wounded which — hit a-man
ἰῷ ἀπὸ νευρῆς· τὸν μέν τ' ἤλυξε πόδεσσι
with-an-arrow from the-string him indeed — escaped with-the-feet
φεύγων, ὄφρ' αἷμα λιαρὸν καὶ γούνατ' ὀρώρῃ·
fleeing while the-blood warm and knees stir
αὐτὰρ ἐπεὶ δὴ τόν γε δαμάσσεται ὠκὺς ὀϊστός,
but when indeed him indeed has-subdued the-swift arrow
ὠμοφάγοι μιν θῶες ἐν οὔρεσι δαρδάπτουσιν
raw-eating him jackals in the-mountains rend
ἐν νέμεϊ σκιερῷ· ἐπί τε λῖν ἤγαγε δαίμων
in a-glade shady on and a-lion has-led a-divinity
σίντην· θῶες μέν τε διέτρεσαν, αὐτὰρ ὁ δάπτει·
ravager the-jackals indeed — scatter but he devours
ὥς ῥα τότ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην
so then then about Odysseus wise of-subtle-mind
Τρῶες ἕπον πολλοί τε καὶ ἄλκιμοι, αὐτὰρ ὅ γ' ἥρως
the-Trojans followed many both and valiant but he indeed the-hero
ἀΐσσων ᾧ ἔγχει ἀμύνετο νηλεὲς ἦμαρ.
darting with-his spear warded-off the-pitiless day
Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον,
Ajax and near came carrying a-shield like a-tower
στῆ δὲ παρέξ· Τρῶες δὲ διέτρεσαν ἄλλυδις ἄλλος.
stood and beside the-Trojans and scattered one-here another-there

ἤτοι τὸν Μενέλαος ἀρήϊος ἔξαγ᾽ ὁμίλου
truly him Menelaus warlike led-out of-the-throng
χειρὸς ἔχων, ἧος θεράπων σχεδὸν ἤλασεν ἵππους.
by-the-hand holding until the-attendant near drove the-horses
Αἴας δὲ Τρώεσσιν ἐπάλμενος εἷλε Δόρυκλον
Ajax and at-the-Trojans leaping took Doryclus
Πριαμίδην, νόθον υἱόν, ἔπειτα δὲ Πάνδοκον οὖτα, 490
son-of-Priam bastard son then and Pandocus wounded
οὖτα δὲ Λύσανδρον καὶ Πύρασον ἠδὲ Πυλάρτην.
wounded and Lysander and Pyrasus and Pylartes
ὡς δ᾽ ὁπότε πλήθων ποταμὸς πεδίονδε κάτεισι
as and when in-flood a-river to-the-plain comes-down
χειμάρρους κατ᾽ ὄρεσφιν, ὀπαζόμενος Διὸς ὄμβρῳ,
winter-torrent down from-the-mountains followed by-Zeus' rain
πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας
many and oaks dry many and — pines
ἐσφέρεται, πολλὸν δέ τ᾽ ἀφυσγετὸν εἰς ἅλα βάλλει, 495
bears-in much and — silt into the-sea casts
ὣς ἔφεπε κλονέων πεδίον τότε φαίδιμος Αἴας,
so pursued routing over-the-plain then glorious Ajax
δαΐζων ἵππους τε καὶ ἀνέρας· οὐδέ πω Ἕκτωρ
slaying horses both and men nor yet Hector
πεύθετ᾽, ἐπεί ῥα μάχης ἐπ᾽ ἀριστερὰ μάρνατο πάσης,
learned since then of-the-battle on the-left fought all
ὄχθας πὰρ ποταμοῖο Σκαμάνδρου, τῇ ῥα μάλιστα
the-banks along of-the-river Scamander there then most
ἀνδρῶν πῖπτε κάρηνα, βοὴ δ᾽ ἄσβεστος ὀρώρει 500
of-men fell the-heads the-cry and unquenchable arose
Νέστορά τ᾽ ἀμφὶ μέγαν καὶ ἀρήϊον Ἰδομενῆα.
Nestor and around great and warlike Idomeneus

Ἕκτωρ μὲν μετὰ τοῖσιν ὁμίλει μέρμερα ῥέζων
Hector indeed among them consorted grim-deeds doing
ἔγχεΐ θ' ἱπποσύνῃ τε, νέων δ' ἀλάπαζε φάλαγγας·
with-spear both horsemanship and of-the-young and wasted the-battalions
οὐδ' ἄν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοί,
nor — yet would-have-given-way from-the-path noble Achaeans
εἰ μὴ Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
if not Alexander of-Helen husband lovely-haired
παῦσεν ἀριστεύοντα Μαχάονα, ποιμένα λαῶν,
had-stopped being-best Machaon shepherd of-the-people
ἰῷ τριγλώχινι βαλὼν κατὰ δεξιὸν ὦμον.
with-an-arrow three-barbed hitting on right shoulder
τῷ ῥα περίδεισαν μένεα πνείοντες Ἀχαιοί,
for-him then feared-greatly furies breathing the-Achaeans
μή πώς μιν πολέμοιο μετακλινθέντος ἔλοιεν.
lest somehow him the-war turning they-should-take
αὐτίκα δ' Ἰδομενεὺς προσεφώνεε Νέστορα δῖον·
at-once and Idomeneus addressed Nestor noble
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
O Nestor son-of-Neleus great glory of-the-Achaeans
ἄγρει, σῶν ὀχέων ἐπιβήσεο, πὰρ δὲ Μαχάων
come your chariot mount by and Machaon
βαινέτω, ἐς νῆας δὲ τάχιστ' ἔχε μώνυχας ἵππους·
let-him-go to the-ships and fastest drive the-single-hoofed horses
ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
a-healer for a-man of-many worth others
ἰούς τ' ἐκτάμνειν ἐπί τ' ἤπια φάρμακα πάσσειν."
arrows both to-cut-out on and soothing drugs to-sprinkle

Nestor drives Machaon to the ships. Cebriones urges Hector toward Ajax, and Hector drives over corpses and fights everywhere but against Ajax. Zeus fills Ajax with fear, and he retreats slowly, like a lion driven from the cattle or a stubborn donkey cudgeled by boys. He turns now and then to hold back the Trojans, and his shield fills with spears. Eurypylus comes to his aid and kills Apisaon, and Paris shoots him in the thigh. Eurypylus calls the Achaeans to stand around Ajax.

Ὣς ἔφατ', οὐδ' ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ.
So he-spoke nor disobeyed Gerenian horseman Nestor
αὐτίκα δ' ὧν ὀχέων ἐπιβήσετο, πὰρ δὲ Μαχάων
at-once and his chariot he-mounted by and Machaon
βαῖν', Ἀσκληπιοῦ υἱὸς ἀμύμονος ἰητῆρος·
went of-Asclepius the-son blameless healer
μάστιξεν δ' ἵππους, τὼ δ' οὐκ ἀέκοντε πετέσθην
he-lashed and the-horses they-two and not unwilling flew
νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ. 520
the-ships to hollow there for dear it-was to-the-heart
Κεβριόνης δὲ Τρῶας ὀρινομένους ἐνόησεν
Cebriones and the-Trojans thrown-into-confusion noticed
Ἕκτορι παρβεβαώς, καί μιν πρὸς μῦθον ἔειπεν·
by-Hector standing and him to speech said
" Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
Hector we-two indeed here consort with-the-Danaans
ἐσχατιῇ πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
at-the-edge of-the-war ill-sounding the and indeed other
Τρῶες ὀρίνονται ἐπιμίξ, ἵπποι τε καὶ αὐτοί. 525
Trojans are-confused pell-mell horses both and themselves
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
Ajax and routs-them Telamonian well and him I-knew

εὐρὺ γὰρ ἀμφ᾽ ὤμοισιν ἔχει σάκος· ἀλλὰ καὶ ἡμεῖς
broad for about shoulders he-holds the-shield but also we
κεῖσ᾽ ἵππους τε καὶ ἅρμ᾽ ἰθύνομεν, ἔνθα μάλιστα
there horses both and chariot let-us-steer where most
ἱππῆες πεζοί τε κακὴν ἔριδα προβαλόντες
horsemen foot-soldiers and evil strife putting-forth
ἀλλήλους ὀλέκουσι, βοὴ δ᾽ ἄσβεστος ὄρωρεν.”
each-other slay the-cry and unquenchable has-arisen
Ὣς ἄρα φωνήσας ἵμασεν καλλίτριχας ἵππους
So then having-spoken he-lashed the-fair-maned horses
μάστιγι λιγυρῇ· τοὶ δὲ πλαγῆς ἀΐοντες
with-the-whip shrill they and the-stroke hearing
ῥίμφ᾽ ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς,
nimbly carried the-swift chariot among the-Trojans and Achaeans
στείβοντες νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ᾽ ἄξων
treading-on corpses both and shields with-blood and the-axle
νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἳ περὶ δίφρον,
below all was-spattered and the-rails which around the-car
ἃς ἄρ᾽ ἀφ᾽ ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
which then from the-horses’ hooves drops struck
αἵ τ᾽ ἀπ᾽ ἐπισσώτρων. ὁ δὲ ἵετο δῦναι ὅμιλον
those and from the-tires he and was-eager to-enter the-throng
ἀνδρόμεον ῥῆξαί τε μετάλμενος· ἐν δὲ κυδοιμὸν
of-men to-break and leaping-in in and confusion
ἧκε κακὸν Δαναοῖσι, μίνυνθα δὲ χάζετο δουρός.
sent evil on-the-Danaans briefly and withdrew from-the-spear

αὐτὰρ ὁ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν
but he of-the other went-ranging-over the-ranks of-men
ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισιν,
with-spear both with-sword and great and with-stones
Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο.
of-Ajax and he-avoided the-battle of-the-son-of-Telamon
Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν φόβον ὧρσε·
Zeus and father Ajax high-throned in panic roused
στῆ δὲ ταφών, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον,
stood and stunned behind and the-shield cast seven-oxhide
τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου, θηρὶ ἐοικώς,
fled and peering-around toward the-throng to-a-beast like
ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων.
turning-often little knee by-knee changing
ὡς δ' αἴθωνα λέοντα βοῶν ἀπὸ μεσσαύλοιο
as and a-tawny lion from-the-cattle from the-middle-of-the-steading
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται,
drive hounds both and men country
οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι
who — him not allow of-the-cattle out the-fat to-take
πάννυχοι ἐγρήσσοντες· ὁ δὲ κρειῶν ἐρατίζων
all-night watching he and for-meat craving
ἰθύει, ἀλλ' οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες
charges but not at-all succeeds thick for javelins
ἀντίον αἴσσουσι θρασειάων ἀπὸ χειρῶν,
against dart bold from hands
καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ·
burning and torches which — he-dreads eager though
ἠῶθεν δ' ἀπονόσφιν ἔβη τετιηότι θυμῷ·
at-dawn and far-away goes with-saddened heart

ὣς Αἴας τότ᾽ ἀπὸ Τρώων τετιημένος ἦτορ
so Ajax then from the-Trojans saddened at-heart
ᾔϊε πόλλ᾽ ἀέκων· περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν.
went much unwilling greatly for he-feared for-the-ships of-the-Achaeans
ὡς δ᾽ ὅτ᾽ ὄνος παρ᾽ ἄρουραν ἰὼν ἐβιήσατο παῖδας
as and when an-ass past a-field going overpowers boys
νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ᾽ ἀμφὶς ἐάγῃ,
stubborn on-whom indeed many around cudgels about are-broken
κείρει τ᾽ εἰσελθὼν βαθὺ λήϊον· οἱ δέ τε παῖδες
crops and going-in deep grain they and — boys
τύπτουσιν ῥοπάλοισι· βίη δέ τε νηπίη αὐτῶν·
beat with-cudgels the-strength and — childish of-them
σπουδῇ τ᾽ ἐξήλασσαν, ἐπεί τ᾽ ἐκορέσσατο φορβῆς·
with-effort — drive-him-out when — he-has-had-his-fill of-fodder
ὣς τότ᾽ ἔπειτ᾽ Αἴαντα μέγαν, Τελαμώνιον υἱόν,
so then then Ajax great Telamonian son
Τρῶες ὑπέρθυμοι πολυηγερέες τ᾽ ἐπίκουροι
the-Trojans high-spirited many-gathered and allies
νύσσοντες ξυστοῖσι μέσον σάκος αἰὲν ἕποντο.
stabbing with-spears the-middle shield always followed
Αἴας δ᾽ ἄλλοτε μὲν μνησάσκετο θούριδος ἀλκῆς
Ajax and at-times indeed would-remember of-furious courage
αὖτις ὑποστρεφθείς, καὶ ἐρητύσασκε φάλαγγας
again turning-about and would-hold-back the-battalions
Τρώων ἱπποδάμων· ὁτὲ δὲ τρωπάσκετο φεύγειν.
of-the-Trojans horse-taming at-times and would-turn to-flee
πάντας δὲ προέεργε θοὰς ἐπὶ νῆας ὁδεύειν,
all and he-barred the-swift to ships to-make-way

αὐτὸς δὲ Τρώων καὶ Ἀχαιῶν θῦνε μεσηγὺ
himself and of-the-Trojans and of-the-Achaeans raged between
ἱστάμενος· τὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν
standing the and spears bold from hands
ἄλλα μὲν ἐν σάκεϊ μεγάλῳ πάγεν ὄρμενα πρόσσω,
some indeed in the-shield great stuck sped forward
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν,
many and also between before the-flesh white to-reach
ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
in the-earth stood longing with-flesh to-glut-themselves
Τὸν δ' ὡς οὖν ἐνόησ' Εὐαίμονος ἀγλαὸς υἱὸς
Him and when then noticed of-Euaemon glorious son
Εὐρύπυλος πυκινοῖσι βιαζόμενον βελέεσσι,
Eurypylus by-thick hard-pressed missiles
στῆ ῥα παρ' αὐτὸν ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
stood then by him going and threw with-spear shining
καὶ βάλε Φαυσιάδην Ἀπισάονα, ποιμένα λαῶν,
and hit son-of-Phausius Apisaon shepherd of-the-people
ἦπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν·
the-liver under the-midriff at-once and under knees loosed
Εὐρύπυλος δ' ἐπόρουσε καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων.
Eurypylus and leapt-at and was-taking the-arms from shoulders
τὸν δ' ὡς οὖν ἐνόησεν Ἀλέξανδρος θεοειδὴς
him and when then noticed Alexander godlike
τεύχε' ἀπαινύμενον Ἀπισάονος, αὐτίκα τόξον
the-arms stripping of-Apisaon at-once the-bow
ἕλκετ' ἐπ' Εὐρυπύλῳ, καί μιν βάλε μηρὸν ὀϊστῷ
drew at Eurypylus and him hit the-thigh with-an-arrow
δεξιόν· ἐκλάσθη δὲ δόναξ, ἐβάρυνε δὲ μηρόν.
right was-broken and the-reed weighed-down and the-thigh

ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
back and of-comrades into the-band he-withdrew doom avoiding
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
he-shouted and piercingly to-the-Danaans calling
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
O friends of-the-Argives leaders and rulers
στῆτ' ἐλελιχθέντες καὶ ἀμύνετε νηλεὲς ἦμαρ
stand turning and ward-off the-pitiless day
Αἴανθ', ὃς βελέεσσι βιάζεται· οὐδέ ἔ φημι
from-Ajax who by-missiles is-hard-pressed nor him I-think
φεύξεσθ' ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ' ἄντην
will-escape from war ill-sounding but right facing
ἵστασθ' ἀμφ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν."
stand about Ajax great Telamonian son

XI.8 · NESTOR'S HUT

The Achaeans gather around Eurypylus, and Ajax turns to face the Trojans. From his ship Achilles sees Nestor bring a wounded man and sends Patroclus to learn who it is, and this is the beginning of his evil. He hopes the Achaeans will soon be at his knees. In Nestor's hut Hecamede, the captive from Tenedos, mixes a potion of Pramnian wine, cheese, and barley in Nestor's great cup. Patroclus refuses a seat: Achilles is quick to blame, and he must report at once.

Ὣς ἔφατ' Εὐρύπυλος βεβλημένος· οἱ δὲ παρ' αὐτὸν
So spoke Eurypylus wounded they and beside him
πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες,
close stood shields on-shoulders leaning

δούρατ᾽ ἀνασχόμενοι· τῶν δ᾽ ἀντίος ἤλυθεν Αἴας.
spears holding-up them and facing came Ajax
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.
stood and turning-about when he-reached the-band of-comrades
Ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
So they indeed fought in-the-likeness of-fire blazing
Νέστορα δ᾽ ἐκ πολέμοιο φέρον Νηλήϊαι ἵπποι
Nestor and out-of the-war carried the-Neleian mares
ἱδρῶσαι, ἦγον δὲ Μαχάονα, ποιμένα λαῶν.
sweating they-carried and Machaon shepherd of-the-people
τὸν δὲ ἰδὼν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
him and seeing noticed swift-footed noble Achilles
ἑστήκει γὰρ ἐπὶ πρύμνῃ μεγακήτεϊ νηΐ
he-stood for on the-stern of-the-huge ship
εἰσορόων πόνον αἰπὺν ἰῶκά τε δακρυόεσσαν.
watching the-toil sheer the-rout and tearful
αἶψα δ᾽ ἑταῖρον ἑὸν Πατροκλῆα προσέειπε,
quickly and comrade his-own Patroclus addressed
φθεγξάμενος παρὰ νηός· ὁ δὲ κλισίηθεν ἀκούσας
calling from the-ship he and from-the-hut hearing
ἔκμολεν ἶσος Ἄρηϊ, κακοῦ δ᾽ ἄρα οἱ πέλεν ἀρχή.
came-out equal to-Ares of-evil and then for-him was the-beginning
τὸν πρότερος προσέειπε Μενοιτίου ἄλκιμος υἱός·
him first addressed of-Menoetius the-valiant son
“τίπτέ με κικλήσκεις, Ἀχιλεῦ; τί δέ σε χρεὼ ἐμεῖο;”
why me do-you-call Achilles what and to-you need of-me
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
him and answering addressed in-feet swift Achilles
“δῖε Μενοιτιάδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ,
noble son-of-Menoetius — to-my dear heart

νῦν ὀΐω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιοὺς
now I-think about knees my will-stand the-Achaeans
λισσομένους· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός.
begging need for comes no-longer bearable
ἀλλ' ἴθι νῦν, Πάτροκλε Διΐ φίλε, Νέστορ' ἔρειο
but go now Patroclus to-Zeus dear Nestor ask
ὅν τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο·
whom any this he-brings wounded out-of the-war
ἦτοι μὲν τά γ' ὄπισθε Μαχάονι πάντα ἔοικε
truly indeed it indeed from-behind to-Machaon all is-like
τῷ Ἀσκληπιάδῃ, ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός·
the son-of-Asclepius but not I-saw the-eyes of-the-man
ἵπποι γάρ με παρήϊξαν πρόσσω μεμαυῖαι."
the-horses for me darted-past forward eager
Ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ,
So he-spoke Patroclus and his-dear obeyed comrade
βῆ δὲ θέειν παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν.
went and to-run along both the-huts and ships of-the-Achaeans
Οἱ δ' ὅτε δὴ κλισίην Νηληϊάδεω ἀφίκοντο,
They and when indeed the-hut of-the-son-of-Neleus reached
αὐτοὶ μέν ῥ' ἀπέβησαν ἐπὶ χθόνα πουλυβότειραν,
themselves indeed then dismounted onto the-earth much-nourishing
ἵππους δ' Εὐρυμέδων θεράπων λύε τοῖο γέροντος
the-horses and Eurymedon attendant loosed of-that old-man
ἐξ ὀχέων· τοὶ δ' ἱδρῷ ἀπεψύχοντο χιτώνων,
from the-chariot they and the-sweat dried-off from-their-tunics
στάντε ποτὶ πνοιὴν παρὰ θῖν' ἁλός· αὐτὰρ ἔπειτα
standing toward the-breeze along the-shore of-the-sea but then
ἐς κλισίην ἐλθόντες ἐπὶ κλισμοῖσι κάθιζον.
into the-hut coming on chairs sat

τοῖσι δὲ τεῦχε κυκειῶ ἐϋπλόκαμος Ἑκαμήδη,
for-them and made a-potion fair-tressed Hecamede
τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων, ὅτε πέρσεν Ἀχιλλεύς,
whom took from Tenedos the-old-man when sacked Achilles
θυγατέρ' Ἀρσινόου μεγαλήτορος, ἥν οἱ Ἀχαιοὶ
daughter of-Arsinous great-hearted whom for-him the-Achaeans
ἔξελον, οὕνεκα βουλῇ ἀριστεύεσκεν ἁπάντων.
picked-out because in-counsel he-excelled all
ἥ σφωϊν πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν
she for-the-two first indeed pushed-forth a-table
καλὴν κυανόπεζαν ἐΰξοον, αὐτὰρ ἐπ' αὐτῆς
fair blue-footed well-polished but on it
χάλκειον κάνεον, ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον,
a-bronze basket on and an-onion for-the-drink relish
ἠδὲ μέλι χλωρόν, παρὰ δ' ἀλφίτου ἱεροῦ ἀκτήν,
and honey pale beside and of-barley sacred the-meal
πὰρ δὲ δέπας περικαλλές, ὃ οἴκοθεν ἦγ' ὁ γεραιός,
beside and a-cup very-fair which from-home brought the old-man
χρυσείοις ἥλοισι πεπαρμένον· οὔατα δ' αὐτοῦ
with-golden studs pierced handles and of-it
τέσσαρ' ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
four were two and doves about each
χρύσειαι νεμέθοντο, δύω δ' ὑπὸ πυθμένες ἦσαν.
golden fed two and under bases were
ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
another indeed straining would-move from-the-table
πλεῖον ἐόν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν.
full being Nestor but the old-man without-effort lifted

ἐν τῷ ῥά σφι κύκησε γυνὴ ἐϊκυῖα θεῇσιν
in it then for-them mixed the-woman like to-goddesses
οἴνῳ Πραμνείῳ, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
with-wine Pramnian on and goat's she-grated cheese
κνήστι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε,
with-a-grater bronze on and barley white sprinkled
πινέμεναι δὲ κέλευσεν, ἐπεί ῥ' ὥπλισσε κυκειῶ.
to-drink and bade when then she-had-prepared the-potion
τὼ δ' ἐπεὶ οὖν πίνοντ' ἀφέτην πολυκαγκέα δίψαν,
they-two and when then drinking had-let-go parching thirst
μύθοισιν τέρποντο πρὸς ἀλλήλους ἐνέποντες,
with-words delighted-themselves toward each-other speaking
Πάτροκλος δὲ θύρῃσιν ἐφίστατο, ἰσόθεος φώς.
Patroclus and at-the-doors stood godlike man
τὸν δὲ ἰδὼν ὁ γεραιὸς ἀπὸ θρόνου ὦρτο φαεινοῦ,
him and seeing the old-man from the-chair rose shining
ἐς δ' ἄγε χειρὸς ἑλών, κατὰ δ' ἑδριάασθαι ἄνωγε.
in and led(-him) by-the-hand taking down and to-sit bade
Πάτροκλος δ' ἑτέρωθεν ἀναίνετο εἶπέ τε μῦθον·
Patroclus but on-the-other-side refused said and word
"οὐχ ἕδος ἐστί, γεραιὲ διοτρεφές, οὐδέ με πείσεις.
no seat is old-man Zeus-nurtured nor me you-will-persuade
αἰδοῖος νεμεσητὸς ὅ με προέηκε πυθέσθαι
revered quick-to-blame who me sent-forth to-learn
ὅν τινα τοῦτον ἄγεις βεβλημένον· ἀλλὰ καὶ αὐτὸς
whom any this you-bring wounded but also myself
γιγνώσκω, ὁρόω δὲ Μαχάονα, ποιμένα λαῶν.
I-know I-see and Machaon shepherd of-the-people
νῦν δὲ ἔπος ἐρέων πάλιν ἄγγελος εἶμ' Ἀχιλῆϊ.
now and word to-tell back messenger I-go to-Achilles

εὖ δὲ σὺ οἶσθα, γεραιὲ διοτρεφές, οἷος ἐκεῖνος
well and you know old-man Zeus-nurtured what-sort he
δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο."
dread man quickly — even the-blameless he-would-blame

XI.9 · NESTOR'S YOUTH

Nestor asks why Achilles pities the Achaeans now and names the wounded chiefs. He wishes he had his youth, as when he killed Itymoneus in a cattle raid and drove the herds home to Neleus' delight. He tells how the Epeans had wronged Pylos after Heracles killed his brothers, how they besieged Thryoessa, and how he fought on foot despite his father. Athena roused the Pylians, and Nestor killed Mulius, took fifty chariots, and drove the Epeans back to Buprasium.

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
"τίπτε τ' ἄρ' ὧδ' Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν,
why — then thus Achilles pities the-sons of-the-Achaeans
ὅσσοι δὴ βέλεσιν βεβλήαται; οὐδέ τι οἶδε
as-many-as indeed by-missiles have-been-wounded nor at-all knows
πένθεος, ὅσσον ὄρωρε κατὰ στρατόν· οἱ γὰρ ἄριστοι
of-the-grief how-great has-arisen through the-army those for best
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
in the-ships lie hit wounded and
βέβληται μὲν ὁ Τυδεΐδης κρατερὸς Διομήδης,
is-hit indeed the son-of-Tydeus mighty Diomedes
οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς ἠδ' Ἀγαμέμνων·
is-wounded and Odysseus spear-famed and Agamemnon
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ·
is-hit and also Eurypylus in the-thigh with-an-arrow

τοῦτον δ᾽ ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο
this and other I newly brought out-of the-war
ἰῷ ἀπὸ νευρῆς βεβλημένον. αὐτὰρ Ἀχιλλεὺς
with-an-arrow from the-string hit but Achilles
ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ᾽ ἐλεαίρει.
brave being of-the-Danaans not cares nor pities
ἦ μένει εἰς ὅ κε δὴ νῆες θοαὶ ἄγχι θαλάσσης
truly does-he-wait until the-time — indeed the-ships swift near the-sea
Ἀργείων ἀέκητι πυρὸς δηΐοιο θέρωνται,
of-the-Argives against-the-will with-fire consuming are-warmed
αὐτοί τε κτεινώμεθ᾽ ἐπισχερώ; — οὐ γὰρ ἐμὴ ἶς
ourselves and are-slain one-after-another not for my strength
ἔσθ᾽ οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
is such-as before it-was in supple limbs
εἴθ᾽ ὣς ἡβώοιμι βίη δέ μοι ἔμπεδος εἴη
would-that so I-were-young the-strength and to-me firm were
ὡς ὁπότ᾽ Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη
as when with-the-Eleans and us a-quarrel arose
ἀμφὶ βοηλασίῃ, ὅτ᾽ ἐγὼ κτάνον Ἰτυμονῆα,
about cattle-raiding when I killed Itymoneus
ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι ναιετάασκε,
brave son-of-Hypeirochus who in Elis dwelt
ῥύσι᾽ ἐλαυνόμενος· ὁ δ᾽ ἀμύνων ἦσι βόεσσιν
reprisals driving he and defending his cattle
ἔβλητ᾽ ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι,
was-bit among the-foremost my from hand with-a-javelin
κὰδ δ᾽ ἔπεσεν, λαοὶ δὲ περίτρεσαν ἀγροιῶται.
down and he-fell the-people and fled-around rustic
λῃΐδα δ᾽ ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλήν,
booty and from the-plain we-drove-together exceeding much

πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν,
fifty of-cattle herds as-many flocks of-sheep
τόσσα συῶν συβόσια, τόσ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν,
as-many of-swine droves as-many herds wide of-goats
ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα,
horses and bay a-hundred and fifty
πάσας θηλείας, πολλῇσι δὲ πῶλοι ὑπῆσαν.
all mares many and foals were-under
καὶ τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήϊον εἴσω
and them indeed we-drove Pylos Neleian into
ἐννύχιοι προτὶ ἄστυ· γεγήθει δὲ φρένα Νηλεύς,
by-night to the-town rejoiced and in-heart Neleus
οὕνεκά μοι τύχε πολλὰ νέῳ πόλεμόνδε κιόντι.
because for-me had-fallen much young to-war going
κήρυκες δὲ λίγαινον ἅμ᾽ ἠοῖ φαινομένηφι
the-heralds and cried-aloud with dawn appearing
τοὺς ἴμεν οἷσι χρεῖος ὀφείλετ᾽ ἐν Ἤλιδι δίῃ·
them to-come to-whom a-debt was-owed in Elis noble
οἱ δὲ συναγρόμενοι Πυλίων ἡγήτορες ἄνδρες
they and gathered of-the-Pylians leading men
δαίτρευον· πολέσιν γὰρ Ἐπειοὶ χρεῖος ὄφειλον,
divided to-many for the-Epeans a-debt owed
ὡς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν·
as we few afflicted in Pylos were
ἐλθὼν γάρ ῥ᾽ ἐκάκωσε βίη Ἡρακληείη
coming for then had-afflicted-us the-might of-Heracles
τῶν προτέρων ἐτέων, κατὰ δ᾽ ἔκταθεν ὅσσοι ἄριστοι·
in-the former years down and were-slain as-many-as best
δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν·
twelve for of-Neleus blameless sons we-were

τῶν οἷος λιπόμην, οἱ δ' ἄλλοι πάντες ὄλοντο.
of-them alone I-was-left the and others all perished
ταῦθ' ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες,
at-this overweening the-Epeans bronze-coated
ἡμέας ὑβρίζοντες, ἀτάσθαλα μηχανόωντο.
us outraging wicked-deeds devised
ἐκ δ' ὁ γέρων ἀγέλην τε βοῶν καὶ πῶϋ μέγ' οἰῶν
out and the old-man a-herd both of-cattle and a-flock great of-sheep
εἵλετο, κρινάμενος τριηκόσι' ἠδὲ νομῆας.
took choosing three-hundred and herdsmen
καὶ γὰρ τῷ χρεῖος μέγ' ὀφείλετ' ἐν Ἤλιδι δίῃ,
and for to-him a-debt great was-owed in Elis noble
τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφιν,
four prize-winning horses with-their chariots
ἐλθόντες μετ' ἄεθλα· περὶ τρίποδος γὰρ ἔμελλον
having-come for prizes around a-tripod for they-were-to
θεύσεσθαι· τοὺς δ' αὖθι ἄναξ ἀνδρῶν Αὐγείας
run them and there lord of-men Augeas
κάσχεθε, τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον ἵππων.
held-back the and driver sent-off grieved for-the-horses
τῶν ὁ γέρων ἐπέων κεχολωμένος ἠδὲ καὶ ἔργων
of-them the old-man for-the-words angered and also deeds
ἐξέλετ' ἄσπετα πολλά· τὰ δ' ἄλλ' ἐς δῆμον ἔδωκε
took unspeakably many the and rest to the-people gave
δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης.
to-divide lest any for-him cheated go of-an-equal-share

ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν, ἀμφί τε ἄστυ
we indeed the-things each arranged around and the-town
ἕρδομεν ἱρὰ θεοῖς· οἱ δὲ τρίτῳ ἤματι πάντες
offered sacrifices to-the-gods they and on-the-third day all
ἦλθον ὁμῶς αὐτοί τε πολεῖς καὶ μώνυχες ἵπποι
came together themselves both many and single-hoofed horses
πανσυδίῃ· μετὰ δέ σφι Μολίονε θωρήσσοντο
in-full-force among and them the-two-Moliones were-arming
παῖδ' ἔτ' ἐόντ', οὔ πω μάλα εἰδότε θούριδος ἀλκῆς. 710
boys still being not yet well knowing of-furious courage
ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη,
is and a Thryoessa city steep hill
τηλοῦ ἐπ' Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντος·
far on the-Alpheus last of-Pylos sandy
τὴν ἀμφεστρατόωντο διαρραῖσαι μεμαῶτες.
it they-besieged to-sack eager
ἀλλ' ὅτε πᾶν πεδίον μετεκίαθον, ἄμμι δ' Ἀθήνη
but when all the-plain they-had-crossed to-us and Athena
ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι 715
messenger came running from Olympus to-arm
ἔννυχος, οὐδ' ἀέκοντα Πύλον κάτα λαὸν ἄγειρεν,
by-night nor unwilling Pylos through the-host she-gathered
ἀλλὰ μάλ' ἐσσυμένους πολεμίζειν. οὐδέ με Νηλεὺς
but very eager to-fight nor me Neleus
εἴα θωρήσσεσθαι, ἀπέκρυψεν δέ μοι ἵππους·
allowed to-arm he-bid and from-me the-horses
οὐ γάρ πώ τί μ' ἔφη ἴδμεν πολεμήϊα ἔργα.
not for yet at-all me he-said to-know of-war works

ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέπρεπον ἡμετέροισι
but even so among-the-horsemen I-was-conspicuous our
καὶ πεζός περ ἐών, ἐπεὶ ὣς ἄγε νεῖκος Ἀθήνη.
and on-foot though being since thus led the-strife Athena
ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων
is and a river Minyeius into the-sea flowing
ἐγγύθεν Ἀρήνης, ὅθι μείναμεν Ἠῶ δῖαν
near Arene where we-waited-for Dawn bright
ἱππῆες Πυλίων, τὰ δ' ἐπέρρεον ἔθνεα πεζῶν.
the-horsemen of-the-Pylians the and flowed-up the-bands of-foot-soldiers
ἔνθεν πανσυδίῃ σὺν τεύχεσι θωρηχθέντες
thence in-full-force with arms armed
ἔνδιοι ἱκόμεσθ' ἱερὸν ῥόον Ἀλφειοῖο.
at-midday we-reached the-sacred stream of-the-Alpheus
ἔνθα Διὶ ῥέξαντες ὑπερμενεῖ ἱερὰ καλά,
there to-Zeus having-offered over-mighty sacrifices fair
ταῦρον δ' Ἀλφειῷ, ταῦρον δὲ Ποσειδάωνι,
a-bull and to-the-Alpheus a-bull and to-Poseidon
αὐτὰρ Ἀθηναίῃ γλαυκώπιδι βοῦν ἀγελαίην,
but to-Athena flashing-eyed a-cow of-the-herd
δόρπον ἔπειθ' ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσι,
supper then we-took through the-army in companies
καὶ κατεκοιμήθημεν ἐν ἔντεσιν οἷσιν ἕκαστος
and lay-down-to-sleep in arms his-own each
ἀμφὶ ῥοὰς ποταμοῖο. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
about the-streams of-the-river but the-great-hearted Epeans
ἀμφίσταντο δὴ ἄστυ διαρραῖσαι μεμαῶτες·
were-standing-around indeed the-town to-sack eager
ἀλλά σφι προπάροιθε φάνη μέγα ἔργον Ἄρηος·
but for-them before appeared great work of-Ares

εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης,
when for the-sun shining rose-above the-earth
συμφερόμεσθα μάχῃ, Διί τ' εὐχόμενοι καὶ Ἀθήνῃ.
we-joined in-battle to-Zeus and praying and Athena
ἀλλ' ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
but when indeed of-the-Pylians and of-the-Epeans arose the-strife
πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμισσα δὲ μώνυχας ἵππους,
first I took a-man led-off and the-single-hoofed horses
Μούλιον αἰχμητήν· γαμβρὸς δ' ἦν Αὐγείαο,
Mulius spearman son-in-law and he-was of-Augeas
πρεσβυτάτην δὲ θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην,
the-eldest and daughter he-had fair-haired Agamede
ἣ τόσα φάρμακα ᾔδη ὅσα τρέφει εὐρεῖα χθών.
who as-many drugs knew as nourishes the-broad earth
τὸν μὲν ἐγὼ προσιόντα βάλον χαλκήρεϊ δουρί,
him indeed I approaching hit with-bronze-tipped spear
ἤριπε δ' ἐν κονίῃσιν· ἐγὼ δ' ἐς δίφρον ὀρούσας
he-fell and in the-dust I and into the-chariot leaping
στῆν ῥα μετὰ προμάχοισιν· ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
stood then among the-champions but the-great-hearted Epeans
ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ ἴδον ἄνδρα πεσόντα
fled one-here another-there when they-saw the-man fallen
ἡγεμόν' ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι.
the-leader of-the-horsemen who was-best to-fight
αὐτὰρ ἐγὼν ἐπόρουσα κελαινῇ λαίλαπι ἶσος,
but I rushed-on to-a-black squall equal
πεντήκοντα δ' ἕλον δίφρους, δύο δ' ἀμφὶς ἕκαστον
fifty and I-took chariots two and about each
φῶτες ὀδὰξ ἕλον οὖδας ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
men with-their-teeth bit the-ground my under spear subdued

καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ' ἀλάπαξα,
and now — the-sons-of-Actor the-Moliones boys I-would-have-slain
εἰ μή σφωε πατὴρ εὐρὺ κρείων ἐνοσίχθων
if not them father wide ruling the-earth-shaker
ἐκ πολέμου ἐσάωσε, καλύψας ἠέρι πολλῇ.
out-of the-war had-saved covering-them with-mist much
ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἐγγυάλιξε·
there Zeus to-the-Pylians great might put-into-the-hand
τόφρα γὰρ οὖν ἑπόμεσθα διὰ σπιδέος πεδίοιο,
so-long for then we-followed through the-wide plain
κτείνοντές τ' αὐτοὺς ἀνά τ' ἔντεα καλὰ λέγοντες,
killing both them up and arms fair gathering
ὄφρ' ἐπὶ Βουπρασίου πολυπύρου βήσαμεν ἵππους
until on Buprasium rich-in-wheat we-set the-horses
πέτρης τ' Ὠλενίης, καὶ Ἀλησίου ἔνθα κολώνη
the-rock and Olenian and of-Alesium where the-hill
κέκληται· ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη.
is-called whence back turned the-host Athena
ἔνθ' ἄνδρα κτείνας πύματον λίπον· αὐτὰρ Ἀχαιοὶ
there a-man having-killed the-last I-left but the-Achaeans
ἂψ ἀπὸ Βουπρασίοιο Πύλονδ' ἔχον ὠκέας ἵππους,
back from Buprasium to-Pylos drove the-swift horses
πάντες δ' εὐχετόωντο θεῶν Διὶ Νέστορί τ' ἀνδρῶν.
all and gave-glory of-gods to-Zeus to-Nestor and of-men

Nestor reminds Patroclus of the charges Menoetius gave him when he left Phthia, to advise Achilles well. He urges him to persuade Achilles, or at least to borrow his armor and lead the Myrmidons, so the Trojans may mistake him for Achilles and the Achaeans may breathe again. Patroclus runs off, but near Odysseus' ships he meets the wounded Eurypylus, who tells him the Achaeans will soon fall at the ships. Patroclus leads him to Eurypylus' hut, cuts out the arrow, and treats the wound with a root.

ὣς ἔον, εἴ ποτ' ἔον γε, μετ' ἀνδράσιν. αὐτὰρ Ἀχιλλεὺς
so I-was if ever I-was indeed among men but Achilles
οἶος τῆς ἀρετῆς ἀπονήσεται· ἦ τέ μιν οἴω
alone of-his valor will-have-the-benefit truly — him I-think
πολλὰ μετακλαύσεσθαι, ἐπεί κ' ἀπὸ λαὸς ὄληται.
much will-weep-afterward when — away the-host perishes
ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ' ἐπέτελλεν
O friend truly indeed to-you indeed Menoetius thus charged
ἤματι τῷ ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε.
on-day that when you from Phthia to-Agamemnon he-sent
νῶϊ δὲ ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεύς,
we-two and inside being I and noble Odysseus
πάντα μάλ' ἐν μεγάροις ἠκούομεν ὡς ἐπέτελλε.
all very in the-halls heard as he-charged
Πηλῆος δ' ἱκόμεσθα δόμους εὖ ναιετάοντας
of-Peleus and we-came-to the-halls well situated
λαὸν ἀγείροντες κατ' Ἀχαιΐδα πουλυβότειραν.
the-host gathering through Achaea much-nourishing

ἔνθα δ' ἔπειθ' ἥρωα Μενοίτιον εὕρομεν ἔνδον
there and then the-hero Menoetius we-found inside
ἠδὲ σέ, πὰρ δ' Ἀχιλῆα· γέρων δ' ἱππηλάτα Πηλεὺς
and you by and Achilles the-old-man and horse-driving Peleus
πίονα μηρία καῖε βοὸς Διὶ τερπικεραύνῳ
fat thigh-pieces was-burning of-an-ox to-Zeus thunder-delighting
αὐλῆς ἐν χόρτῳ· ἔχε δὲ χρύσειον ἄλεισον,
of-the-court in the-enclosure he-held and a-golden cup
775 σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσι.
pouring sparkling wine on burning offerings
σφῶϊ μὲν ἀμφὶ βοὸς ἔπετον κρέα, νῶϊ δ' ἔπειτα
you-two indeed about of-the-ox were-busy the-meat we-two and then
στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς,
stood in the-doorway amazed and leapt-up Achilles
ἐς δ' ἄγε χειρὸς ἑλών, κατὰ δ' ἑδριάασθαι ἄνωγε,
in and led(-us) by-the-hand taking down and to-sit bade
ξείνιά τ' εὖ παρέθηκεν, ἅ τε ξείνοις θέμις ἐστίν.
hospitality and well set-before which — for-strangers right is
780 αὐτὰρ ἐπεὶ τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος,
but when we-had-had-our-fill of-food and of-drink
ἦρχον ἐγὼ μύθοιο, κελεύων ὔμμ' ἅμ' ἕπεσθαι·
began I the-speech bidding you-two with to-follow
σφὼ δὲ μάλ' ἠθέλετον, τὼ δ' ἄμφω πόλλ' ἐπέτελλον.
you-two and very were-willing they-two and both much charged
Πηλεὺς μὲν ᾧ παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆϊ
Peleus indeed his son the-old-man charged Achilles
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων·
always to-be-best and pre-eminent to-be of-others
785 σοὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιος, Ἄκτορος υἱός·
to-you and in-turn thus charged Menoetius of-Actor son

‘τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς,
child my in-birth indeed higher is Achilles
πρεσβύτερος δὲ σύ ἐσσι· βίῃ δ’ ὅ γε πολλὸν ἀμείνων.
older but you are in-might and he indeed much better
ἀλλ’ εὖ οἱ φάσθαι πυκινὸν ἔπος ἠδ’ ὑποθέσθαι
but well to-him to-speak shrewd word and to-advise
καί οἱ σημαίνειν· ὁ δὲ πείσεται εἰς ἀγαθόν περ.’
and to-him to-give-signs he and will-obey for good indeed
ὣς ἐπέτελλ’ ὁ γέρων, σὺ δὲ λήθεαι· ἀλλ’ ἔτι καὶ νῦν
so charged the old-man you but forget but still even now
ταῦτ’ εἴποις Ἀχιλῆϊ δαΐφρονι, αἴ κε πίθηται.
these-things you-might-say to-Achilles wise if — he-might-obey
τίς δ’ οἶδ’ εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίναις
who and knows if — for-him with a-god the-heart you-might-stir
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
persuading good and the-persuasion is of-a-comrade
εἰ δέ τινα φρεσὶν ᾗσι θεοπροπίην ἀλεείνει
if but some in-his-mind his-own oracle he-shuns
καί τινά οἱ πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
and some to-him from Zeus has-told queenly mother
ἀλλὰ σέ περ προέτω, ἅμα δ’ ἄλλος λαὸς ἑπέσθω
but you at-least let-him-send-forth with and the-other host let-follow
Μυρμιδόνων, αἴ κέν τι φόως Δαναοῖσι γένηαι·
of-the-Myrmidons if — some light to-the-Danaans you-may-become
καί τοι τεύχεα καλὰ δότω πόλεμόνδε φέρεσθαι,
and to-you the-arms fair let-him-give to-war to-carry

αἴ κέ σε τῷ εἴσκοντες ἀπόσχωνται πολέμοιο
if — you with-him likening may-hold-off from-war
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν
the-Trojans may-take-breath and warlike sons of-the-Achaeans
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
worn-out little and — the-breathing-space of-war
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ
easily and — fresh weary men with-the-war-cry
ὤσαισθε προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
you-could-push to the-town the-ships from and the-huts
Ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε,
So he-spoke for-him and then the-heart in the-breast he-stirred
βῆ δὲ θέειν παρὰ νῆας ἐπ' Αἰακίδην Ἀχιλῆα.
went and to-run along the-ships to the-son-of-Aeacus Achilles
ἀλλ' ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
but when indeed along the-ships of-Odysseus godlike
ἶξε θέων Πάτροκλος, ἵνά σφ' ἀγορή τε θέμις τε
reached running Patroclus where for-them assembly both judgment and
ἦην, τῇ δὴ καί σφι θεῶν ἐτετεύχατο βωμοί,
was there indeed also for-them of-the-gods were-built altars
ἔνθα οἱ Εὐρύπυλος βεβλημένος ἀντεβόλησε
there him Eurypylus wounded met
διογενὴς Εὐαιμονίδης κατὰ μηρὸν ὀϊστῷ,
Zeus-born son-of-Euaemon in the-thigh with-an-arrow
σκάζων ἐκ πολέμου· κατὰ δὲ νότιος ῥέεν ἱδρὼς
limping from the-war down and wet flowed sweat
ὤμων καὶ κεφαλῆς, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
from-shoulders and head from and the-wound grievous
αἷμα μέλαν κελάρυζε· νόος γε μὲν ἔμπεδος ἦεν.
blood black gushed the-mind indeed indeed firm was

τὸν δὲ ἰδὼν ὤκτειρε Μενοιτίου ἄλκιμος υἱός,
him and seeing pitied of-Menoetius the-valiant son
καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
and then lamenting words winged addressed
"ἆ δειλοί, Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες,
ah wretched of-the-Danaans leaders and rulers
ὣς ἄρ' ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης
so then you-were-to far from-friends and native land
ἄσειν ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ.
to-glut in Troy the-swift dogs with-the-white fat
ἀλλ' ἄγε μοι τόδε εἰπέ, διοτρεφὲς Εὐρύπυλ' ἥρως,
but come to-me this tell Zeus-nurtured Eurypylus hero
ἤ ῥ' ἔτι που σχήσουσι πελώριον Ἕκτορ' Ἀχαιοί,
whether — still somehow will-hold monstrous Hector the-Achaeans
ἦ ἤδη φθίσονται ὑπ' αὐτοῦ δουρὶ δαμέντες;"
or already will-perish under him by-spear subdued
Τὸν δ' αὖτ' Εὐρύπυλος βεβλημένος ἀντίον ηὔδα·
Him and in-turn Eurypylus wounded in-reply spoke
"οὐκέτι, διογενὲς Πατρόκλεες, ἄλκαρ Ἀχαιῶν
no-longer Zeus-born Patroclus defense of-the-Achaeans
ἔσσεται, ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέονται.
will-be but in the-ships black they-will-fall
οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
those indeed for indeed all as-many-as before were best
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε
in the-ships lie hit wounded and
χερσὶν ὕπο Τρώων· τῶν δὲ σθένος ὄρνυται αἰέν.
hands under of-the-Trojans whose and strength rises always
ἀλλ' ἐμὲ μὲν σὺ σάωσον ἄγων ἐπὶ νῆα μέλαιναν,
but me indeed you save leading to the-ship black

μηροῦ δ' ἔκταμ' ὀϊστόν, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν
from-the-thigh and cut-out the-arrow from it and the-blood dark
νίζ' ὕδατι λιαρῷ, ἐπὶ δ' ἤπια φάρμακα πάσσεν,
wash with-water warm on and soothing drugs sprinkle
ἐσθλά, τά σε προτί φασιν Ἀχιλλῆος δεδιδάχθαι,
good which you from they-say from-Achilles to-have-been-taught
ὃν Χείρων ἐδίδαξε, δικαιότατος Κενταύρων.
whom Chiron taught most-just of-the-Centaurs
ἰητροὶ μὲν γὰρ Ποδαλείριος ἠδὲ Μαχάων,
the-healers indeed for Podalirius and Machaon
τὸν μὲν ἐνὶ κλισίῃσιν ὀΐομαι ἕλκος ἔχοντα,
the-one indeed in the-huts I-think a-wound having
χρηΐζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος,
needing also himself a-blameless healer
κεῖσθαι· ὁ δ' ἐν πεδίῳ Τρώων μένει ὀξὺν Ἄρηα."
to-lie the-other and in the-plain of-the-Trojans awaits the-sharp Ares
Τὸν δ' αὖτε προσέειπε Μενοιτίου ἄλκιμος υἱός·
Him and in-turn addressed of-Menoetius the-valiant son
"πῶς τ' ἄρ' ἔοι τάδε ἔργα; τί ῥέξομεν, Εὐρύπυλ' ἥρως;
how — then would-be these deeds what shall-we-do Eurypylus hero
ἔρχομαι, ὄφρ' Ἀχιλῆϊ δαΐφρονι μῦθον ἐνίσπω,
I-am-going that to-Achilles wise the-word I-may-tell
ὃν Νέστωρ ἐπέτελλε Γερήνιος, οὖρος Ἀχαιῶν·
which Nestor charged Gerenian guardian of-the-Achaeans
ἀλλ' οὐδ' ὣς περ σεῖο μεθήσω τειρομένοιο."
but not-even so indeed you will-I-neglect worn-out
Ἦ, καὶ ὑπὸ στέρνοιο λαβὼν ἄγε ποιμένα λαῶν
He-spoke and under the-breast taking led the-shepherd of-the-people
ἐς κλισίην· θεράπων δὲ ἰδὼν ὑπέχευε βοείας.
into the-hut the-attendant and seeing spread-under oxhides

ἔνθα μιν ἐκτανύσας ἐκ μηροῦ τάμνε μαχαίρῃ
there him stretching-out from the-thigh he-cut with-a-knife
ὀξὺ βέλος περιπευκές, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν
the-sharp dart very-bitter from it and the-blood dark
νίζ' ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
he-washed with-water warm on and a-root he-put bitter
χερσὶ διατρίψας, ὀδυνήφατον, ἥ οἱ ἁπάσας
with-hands rubbing pain-killing which for-him all
ἔσχ' ὀδύνας· τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα.
stayed the-pains the indeed wound grew-dry ceased and the-blood

---

BOOK XII

XII.1 · THE WALL

The Achaeans' wall, built without hecatombs, will not stand for long: after Troy falls, Poseidon and Apollo will turn the rivers against it and wash it away. Now the battle rages around it. Hector fights like a boar or lion turning against hunters, but his horses balk at the ditch with its stakes. Polydamas warns that the chariots cannot fight in the ditch, and that a Trojan rout there would be fatal, and urges that they leave the horses and attack on foot.

Ὣς ὁ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱὸς
So he indeed in the-huts of-Menoetius the-valiant son
ἰᾶτ' Εὐρύπυλον βεβλημένον· οἱ δ' ἐμάχοντο
was-healing Eurypylus wounded they and fought
Ἀργεῖοι καὶ Τρῶες ὁμιλαδόν· οὐδ' ἄρ' ἔμελλε
the-Argives and Trojans in-a-throng nor then was-to
τάφρος ἔτι σχήσειν Δαναῶν καὶ τεῖχος ὕπερθεν
the-ditch still hold of-the-Danaans and the-wall above
εὐρύ, τὸ ποιήσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
wide which they-made the-ships for around and the-ditch
ἤλασαν, οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας·
drove nor to-the-gods gave famous hecatombs
ὄφρα σφιν νῆάς τε θοὰς καὶ λῃΐδα πολλὴν
that for-them the-ships both swift and booty much
ἐντὸς ἔχον ῥύοιτο· θεῶν δ' ἀέκητι τέτυκτο
within holding it-might-protect of-the-gods and against-the-will it-was-built
ἀθανάτων· τὸ καὶ οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν.
immortal therefore also not at-all long time firm was

ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ μήνι᾽ Ἀχιλλεὺς
while indeed Hector alive was and raged Achilles
καὶ Πριάμοιο ἄνακτος ἀπόρθητος πόλις ἔπλεν,
and of-Priam lord unsacked the-city was
τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν.
so-long and also the-great wall of-the-Achaeans firm was
αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅσσοι ἄριστοι,
but when down indeed of-the-Trojans died as-many-as best
πολλοὶ δ᾽ Ἀργείων οἱ μὲν δάμεν, οἱ δὲ λίποντο,
many and of-the-Argives some indeed were-subdued others and were-left
πέρθετο δὲ Πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ,
was-sacked and of-Priam the-city in-the-tenth year
Ἀργεῖοι δ᾽ ἐν νηυσὶ φίλην ἐς πατρίδ᾽ ἔβησαν,
the-Argives and in the-ships dear to native-land went
δὴ τότε μητιόωντο Ποσειδάων καὶ Ἀπόλλων
indeed then devised Poseidon and Apollo
τεῖχος ἀμαλδῦναι, ποταμῶν μένος εἰσαγαγόντες.
the-wall to-destroy of-the-rivers the-might bringing-in
ὅσσοι ἀπ᾽ Ἰδαίων ὀρέων ἅλαδε προρέουσι,
as-many-as from the-Idaean mountains to-the-sea flow-forth
Ῥῆσός θ᾽ Ἑπτάπορός τε Κάρησός τε Ῥοδίος τε
Rhesus both Heptaporus and Caresus and Rhodius and
Γρήνικός τε καὶ Αἴσηπος δῖός τε Σκάμανδρος
Granicus both and Aesepus noble and Scamander
καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
and Simoeis where many oxhide-shields and helmets
κάππεσον ἐν κονίῃσι καὶ ἡμιθέων γένος ἀνδρῶν·
fell in the-dust and of-demigods the-race of-men
τῶν πάντων ὁμόσε στόματ᾽ ἔτραπε Φοῖβος Ἀπόλλων,
of-them all together the-mouths turned Phoebus Apollo

ἐννῆμαρ δ᾽ ἐς τεῖχος ἴει ῥόον· ὗε δ᾽ ἄρα Ζεὺς
for-nine-days and against the-wall sent the-stream rained and then Zeus
συνεχές, ὄφρα κε θᾶσσον ἁλίπλοα τείχεα θείη.
continually that — sooner sea-floating the-walls he-might-make
αὐτὸς δ᾽ ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν
himself and the-earth-shaker holding in-hands the-trident
ἡγεῖτ᾽, ἐκ δ᾽ ἄρα πάντα θεμείλια κύμασι πέμπε
led out and then all the-foundations to-the-waves sent
φιτρῶν καὶ λάων, τὰ θέσαν μογέοντες Ἀχαιοί,
of-logs and of-stones which set toiling the-Achaeans
λεῖα δ᾽ ἐποίησεν παρ᾽ ἀγάρροον Ἑλλήσποντον,
smooth and made-it along the-strong-flowing Hellespont
αὖτις δ᾽ ἠϊόνα μεγάλην ψαμάθοισι κάλυψε,
again and the-shore great with-sands covered
τεῖχος ἀμαλδύνας· ποταμοὺς δ᾽ ἔτρεψε νέεσθαι
the-wall having-destroyed the-rivers and turned to-go
κὰρ ῥόον, ᾗ περ πρόσθεν ἴεν καλλίρροον ὕδωρ.
down the-stream where indeed before they-sent fair-flowing water
Ὣς ἄρ᾽ ἔμελλον ὄπισθε Ποσειδάων καὶ Ἀπόλλων
So then were-to afterward Poseidon and Apollo
θησέμεναι· τότε δ᾽ ἀμφὶ μάχη ἐνοπή τε δεδήει
do then and around battle din and blazed
τεῖχος ἐΰδμητον, κανάχιζε δὲ δούρατα πύργων
the-wall well-built rang and the-beams of-the-towers
βαλλόμεν᾽· Ἀργεῖοι δὲ Διὸς μάστιγι δαμέντες
being-struck the-Argives and by-Zeus' lash subdued
νηυσὶν ἔπι γλαφυρῇσιν ἐελμένοι ἰσχανόωντο,
the-ships by hollow penned were-held-back
Ἕκτορα δειδιότες, κρατερὸν μήστωρα φόβοιο·
Hector fearing mighty deviser of-rout

αὐτὰρ ὅ γ' ὡς τὸ πρόσθεν ἐμάρνατο ἶσος ἀέλλῃ·
but he indeed as — before fought equal to-a-gale
ὡς δ' ὅτ' ἂν ἔν τε κύνεσσι καὶ ἀνδράσι θηρευτῇσι
as and when — among both hounds and men hunters
κάπριος ἠὲ λέων στρέφεται σθένεϊ βλεμεαίνων·
a-boar or a-lion turns with-strength raging
οἱ δέ τε πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες
they and — tower-like them selves arraying
ἀντίον ἵστανται καὶ ἀκοντίζουσι θαμειὰς
facing stand and hurl thick
αἰχμὰς ἐκ χειρῶν· τοῦ δ' οὔ ποτε κυδάλιμον κῆρ
spears from hands his and not ever glorious heart
ταρβεῖ οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα·
quails nor flees his-courage and him kills
ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων·
often and he-turns the-ranks of-men testing
ὅππῃ τ' ἰθύσῃ, τῇ τ' εἴκουσι στίχες ἀνδρῶν·
wherever — he-charges there — yield the-ranks of-men

ὣς Ἕκτωρ ἀν᾽ ὅμιλον ἰὼν ἐλίσσεθ᾽ ἑταίρους
so Hector through the-throng going wheels his-comrades
τάφρον ἐποτρύνων διαβαινέμεν· οὐδέ οἱ ἵπποι
the-ditch urging to-cross nor for-him the-horses
τόλμων ὠκύποδες, μάλα δὲ χρεμέτιζον ἐπ᾽ ἄκρῳ
dared swift-footed loudly but neighed on the-edge
χείλει ἐφεσταότες· ἀπὸ γὰρ δειδίσσετο τάφρος
the-brink standing away for frightened-them the-ditch
εὐρεῖ᾽, οὔτ᾽ ἄρ᾽ ὑπερθορέειν σχεδὸν οὔτε περῆσαι
wide neither then to-leap-over near nor to-cross
ῥηϊδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν
easy banks for overhanging around all
ἕστασαν ἀμφοτέρωθεν, ὕπερθεν δὲ σκολόπεσσιν
stood on-both-sides above and with-stakes
ὀξέσιν ἠρήρει, τοὺς ἵστασαν υἷες Ἀχαιῶν
sharp it-was-set which set the-sons of-the-Achaeans
πυκνοὺς καὶ μεγάλους, δηΐων ἀνδρῶν ἀλεωρήν.
close and great of-hostile men a-defense
ἔνθ᾽ οὔ κεν ῥέα ἵππος ἐΰτροχον ἅρμα τιταίνων
there not — easily a-horse well-wheeled chariot drawing
ἐσβαίη, πεζοὶ δὲ μενοίνεον εἰ τελέουσι.
might-enter on-foot but they-were-eager whether they-would-accomplish
δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
indeed then Polydamas bold Hector addressed standing-by
“ Ἕκτορ τ᾽ ἠδ᾽ ἄλλοι Τρώων ἀγοὶ ἠδ᾽ ἐπικούρων,
Hector and and others of-the-Trojans leaders and of-the-allies
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους·
senselessly through the-ditch we-drive the-swift horses

ἡ δὲ μάλ' ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῇ
it and very hard to-cross stakes for in it
ὀξέες ἑστᾶσιν, ποτὶ δ' αὐτοὺς τεῖχος Ἀχαιῶν.
sharp stand by and them the-wall of-the-Achaeans
ἔνθ' οὔ πως ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι
there not at-all is-it-possible to-descend nor to-fight
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀΐω.
for-horsemen narrow for where to-be-wounded I-think
εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
if indeed for them altogether evil intending he-destroys
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ ἴετ' ἀρήγειν,
Zeus thundering-on-high the-Trojans and longs to-help
ἦ τ' ἂν ἔγωγ' ἐθέλοιμι καὶ αὐτίκα τοῦτο γενέσθαι,
truly — — I-indeed would-wish even at-once this to-happen
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς·
nameless to-perish from Argos here the-Achaeans
εἰ δέ χ' ὑποστρέψωσι, παλίωξις δὲ γένηται
if but — they-turn-back a-rout-back and arise
ἐκ νηῶν καὶ τάφρῳ ἐνιπλήξωμεν ὀρυκτῇ,
from the-ships and into-the-ditch we-dash dug
οὐκέτ' ἔπειτ' ὀΐω οὐδ' ἄγγελον ἀπονέεσθαι
no-longer then I-think not-even a-messenger to-return
ἄψορρον προτὶ ἄστυ ἑλιχθέντων ὑπ' Ἀχαιῶν.
backward to the-town rolled-back by the-Achaeans
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
but come as — I say let-us-obey all
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρῳ,
the-horses indeed the-attendants let-hold at the-ditch

αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες
ourselves and on-foot with arms armed
Ἕκτορι πάντες ἑπώμεθ' ἀολλέες· αὐτὰρ Ἀχαιοὶ
Hector all let-us-follow together but the-Achaeans
οὐ μενέουσ', εἰ δή σφιν ὀλέθρου πείρατ' ἐφῆπται."
not will-stand if indeed for-them of-destruction the-ends are-fastened

XII.2 · ASIUS AT THE GATE

Hector agrees, and the Trojans leave their chariots and form five companies under Hector, Paris, Helenus, Aeneas, and Sarpedon. Only Asius keeps his chariot and drives to the left gate, which stands open for fleeing Achaeans. There the Lapiths Polypoetes and Leonteus stand like oaks, then charge out like wild boars. Stones fly from both sides like snow. Asius cries out that Zeus has lied to him, for the Achaeans fight like wasps defending their nest.

Ὣς φάτο Πουλυδάμας, ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων,
So spoke Polydamas pleased and Hector the-word safe
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε.
at-once and from the-chariot with arms he-leapt to-the-ground
οὐδὲ μὲν ἄλλοι Τρῶες ἐφ' ἵππων ἠγερέθοντο,
nor indeed the-other Trojans on horses gathered
ἀλλ' ἀπὸ πάντες ὄρουσαν, ἐπεὶ ἴδον Ἕκτορα δῖον.
but down all leapt when they-saw Hector noble
ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαστος
to-the-charioteer indeed then his-own charged each
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθ' ἐπὶ τάφρῳ·
the-horses well in order to-hold there at the-ditch

οἱ δὲ διαστάντες, σφέας αὐτοὺς ἀρτύναντες,
they and parting them selves arraying
πένταχα κοσμηθέντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
in-five-bands marshaled with the-leaders followed
Οἱ μὲν ἅμ' Ἕκτορ' ἴσαν καὶ ἀμύμονι Πουλυδάμαντι,
They indeed with Hector went and blameless Polydamas
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, μέμασαν δὲ μάλιστα
who most and best were were-eager and most
τεῖχος ῥηξάμενοι κοίλῃς ἐπὶ νηυσὶ μάχεσθαι.
the-wall breaking the-hollow at ships to-fight
καί σφιν Κεβριόνης τρίτος εἵπετο· πὰρ δ' ἄρ' ὄχεσφιν
and with-them Cebriones third followed by and then the-chariot
ἄλλον Κεβριόναο χερείονα κάλλιπεν Ἕκτωρ.
another than-Cebriones worse left Hector
τῶν δ' ἑτέρων Πάρις ἦρχε καὶ Ἀλκάθοος καὶ Ἀγήνωρ,
of-them and the-second Paris led and Alcathous and Agenor
τῶν δὲ τρίτων Ἕλενος καὶ Δηΐφοβος θεοειδής,
of-them and the-third Helenus and Deïphobus godlike
υἱὲ δύω Πριάμοιο· τρίτος δ' ἦν Ἄσιος ἥρως,
sons two of-Priam third and was Asius hero
Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι
Asius son-of-Hyrtacus whom from-Arisbe carried horses
αἴθωνες μεγάλοι, ποταμοῦ ἄπο Σελλήεντος.
tawny great river from Selleïs
τῶν δὲ τετάρτων ἦρχεν ἐΰς πάϊς Ἀγχίσαο,
of-them and the-fourth led the-good son of-Anchises
Αἰνείας, ἅμα τῷ γε δύω Ἀντήνορος υἱέ,
Aeneas with him indeed two of-Antenor sons
Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης εὖ εἰδότε πάσης.
Archelochus both Acamas and of-battle well knowing all

Σαρπηδὼν δ᾽ ἡγήσατ᾽ ἀγακλειτῶν ἐπικούρων,
Sarpedon and led the-far-famed allies
πρὸς δ᾽ ἕλετο Γλαῦκον καὶ ἀρήϊον Ἀστεροπαῖον·
to-himself and he-chose Glaucus and warlike Asteropaeus
οἱ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι
those for to-him seemed distinctly to-be best
τῶν ἄλλων μετά γ᾽ αὐτόν· ὁ δ᾽ ἔπρεπε καὶ διὰ πάντων.
of-the others after indeed himself he and was-conspicuous even among all
οἱ δ᾽ ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇσι βόεσσι
they and when each-other they-had-fitted with-wrought oxhides
βάν ῥ᾽ ἰθὺς Δαναῶν λελιημένοι, οὐδ᾽ ἔτ᾽ ἔφαντο
went then straight for-the-Danaans eager nor any-longer they-said
σχήσεσθ᾽, ἀλλ᾽ ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
they-would-hold but in the-ships black would-fall
Ἔνθ᾽ ἄλλοι Τρῶες τηλεκλειτοί τ᾽ ἐπίκουροι
Then the-other Trojans far-famed and allies
βουλῇ Πουλυδάμαντος ἀμωμήτοιο πίθοντο·
the-counsel of-Polydamas blameless obeyed
ἀλλ᾽ οὐχ Ὑρτακίδης ἔθελ᾽ Ἄσιος, ὄρχαμος ἀνδρῶν,
but not the-son-of-Hyrtacus wished Asius leader of-men
αὖθι λιπεῖν ἵππους τε καὶ ἡνίοχον θεράποντα,
there to-leave the-horses both and the-charioteer attendant
ἀλλὰ σὺν αὐτοῖσιν πέλασεν νήεσσι θοῇσι,
but with them he-approached the-ships swift
νήπιος, οὐδ᾽ ἄρ᾽ ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας
fool nor then was-he-to evil from fates escaping
ἵπποισιν καὶ ὄχεσφιν ἀγαλλόμενος παρὰ νηῶν
with-horses and chariot exulting from the-ships
ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν·
back to-return to Ilium windy

πρόσθεν γάρ μιν μοῖρα δυσώνυμος ἀμφεκάλυψεν
before for him fate ill-named covered
ἔγχεϊ Ἰδομενῆος, ἀγαυοῦ Δευκαλίδαο.
with-the-spear of-Idomeneus lordly son-of-Deucalion
εἴσατο γὰρ νηῶν ἐπ᾽ ἀριστερά, τῇ περ Ἀχαιοὶ
he-went for of-the-ships to the-left where indeed the-Achaeans
ἐκ πεδίου νίσοντο σὺν ἵπποισιν καὶ ὄχεσφι·
from the-plain returned with horses and chariot
τῇ ῥ᾽ ἵππους τε καὶ ἅρμα διήλασεν, οὐδὲ πύληισιν
there then horses both and chariot he-drove-through nor at-the-gates
εὗρ᾽ ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα,
found closed the-doors and the-long bar
ἀλλ᾽ ἀναπεπταμένας ἔχον ἀνέρες, εἴ τιν᾽ ἑταίρων
but thrown-open held-them the-men if any of-comrades
ἐκ πολέμου φεύγοντα σαώσειαν μετὰ νῆας.
from war fleeing they-might-save to the-ships
τῇ ῥ᾽ ἰθὺς φρονέων ἵππους ἔχε, τοὶ δ᾽ ἅμ᾽ ἕποντο
there then straight intending horses he-held they and with followed
ὀξέα κεκλήγοντες· ἔφαντο γὰρ οὐκέτ᾽ Ἀχαιοὺς
shrilly shouting they-said for no-longer the-Achaeans
σχήσεσθ᾽, ἀλλ᾽ ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι·
they-would-hold but in the-ships black would-fall
νήπιοι, ἐν δὲ πύληισι δύ᾽ ἀνέρας εὗρον ἀρίστους,
fools in and the-gates two men they-found best
υἱας ὑπερθύμους Λαπιθάων αἰχμητάων,
sons high-spirited of-the-Lapiths spearmen
τὸν μὲν Πειριθόου υἱα, κρατερὸν Πολυποίτην,
the-one indeed of-Peirithous son mighty Polypoetes
τὸν δὲ Λεοντῆα, βροτολοιγῷ ἶσον Ἄρηϊ.
the-other and Leonteus to-man-slaying equal Ares

τὼ μὲν ἄρα προπάροιθε πυλάων ὑψηλάων
they-two indeed then before the-gates lofty
ἔστασαν ὡς ὅτε τε δρύες οὔρεσιν ὑψικάρηνοι,
stood as when — oaks on-the-mountains high-topped
αἵ τ' ἄνεμον μίμνουσι καὶ ὑετὸν ἤματα πάντα,
which — the-wind await and the-rain days all
ῥίζῃσιν μεγάλῃσι διηνεκέεσσ' ἀραρυῖαι·
with-roots great continuous fixed
ὣς ἄρα τὼ χείρεσσι πεποιθότες ἠδὲ βίηφι
so then they-two in-hands trusting and in-might
μίμνον ἐπερχόμενον μέγαν Ἄσιον οὐδὲ φέβοντο.
awaited coming-on great Asius nor fled
οἱ δ' ἰθὺς πρὸς τεῖχος ἐΰδμητον βόας αὔας
they and straight toward the-wall well-built oxhides dry
ὑψόσ' ἀνασχόμενοι ἔκιον μεγάλῳ ἀλαλητῷ
on-high holding-up went with-great war-cry
Ἄσιον ἀμφὶ ἄνακτα καὶ Ἰαμενὸν καὶ Ὀρέστην
Asius around lord and Iamenus and Orestes
Ἀσιάδην τ' Ἀδάμαντα Θόωνά τε Οἰνόμαόν τε.
son-of-Asius and Adamas Thoön both Oenomaus and
οἱ δ' ἤτοι ἧος μὲν ἐϋκνήμιδας Ἀχαιοὺς
they and truly while indeed the-well-greaved Achaeans
ὄρνυον ἔνδον ἐόντες ἀμύνεσθαι περὶ νηῶν·
urged inside being to-defend around the-ships
αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησαν
but when indeed the-wall rushing-at they-saw
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
the-Trojans but of-the-Danaans arose clamor both rout and
ἐκ δὲ τὼ ἀΐξαντε πυλάων πρόσθε μαχέσθην,
out and they-two darting the-gates before fought

ἀγροτέροισι σύεσσιν ἐοικότε, τώ τ' ἐν ὄρεσσιν
to-wild boars like which — in the-mountains
ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα,
of-men and of-hounds await the-tumult coming
δοχμώ τ' ἀΐσσοντε περὶ σφίσιν ἄγνυτον ὕλην
slantwise and darting about them they-break the-wood
πρυμνὴν ἐκτάμνοντες, ὑπαὶ δέ τε κόμπος ὀδόντων
from-the-root cutting under and — gnashing of-teeth
γίγνεται, εἰς ὅ κέ τίς τε βαλὼν ἐκ θυμὸν ἕληται·
arises until the-time — some — hitting out life takes
ὣς τῶν κόμπει χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς
so of-them clanged bronze on breasts shining
ἄντην βαλλομένων· μάλα γὰρ κρατερῶς ἐμάχοντο,
face-to-face being-hit very for mightily they-fought
λαοῖσιν καθύπερθε πεποιθότες ἠδὲ βίηφιν.
in-the-host above trusting and in-might
οἱ δ' ἄρα χερμαδίοισιν ἐϋδμήτων ἀπὸ πύργων
they and then with-stones well-built from towers
βάλλον, ἀμυνόμενοι σφῶν τ' αὐτῶν καὶ κλισιάων
threw defending them and selves and the-huts
νηῶν τ' ὠκυπόρων· νιφάδες δ' ὡς πῖπτον ἔραζε,
the-ships and swift-faring snowflakes and like fell to-the-ground
ἅς τ' ἄνεμος ζαής, νέφεα σκιόεντα δονήσας,
which — the-wind blustering the-clouds shadowy shaking
ταρφειὰς κατέχευεν ἐπὶ χθονὶ πουλυβοτείρῃ·
thick pours-down on earth much-nourishing

ὣς τῶν ἐκ χειρῶν βέλεα ῥέον, ἠμὲν Ἀχαιῶν
so of-them from hands missiles flowed both of-the-Achaeans
ἠδὲ καὶ ἐκ Τρώων· κόρυθες δ' ἀμφ' αὖον ἀΰτευν
and also from the-Trojans the-helmets and around harshly rang
βαλλομένων μυλάκεσσι καὶ ἀσπίδες ὀμφαλόεσσαι.
being-hit with-millstones and shields bossed
δή ῥα τότ' ὤμωξέν τε καὶ ὦ πεπλήγετο μηρὼ
indeed then then groaned both and his-two struck thighs
Ἄσιος Ὑρτακίδης, καὶ ἀλαστήσας ἔπος ηὔδα·
Asius son-of-Hyrtacus and indignant word spoke
"Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο
Zeus father truly then now also you a-lover-of-lies have-become
πάγχυ μάλ'· οὐ γὰρ ἔγωγ' ἐφάμην ἥρωας Ἀχαιοὺς
altogether utterly not for I-indeed thought the-heroes Achaean
σχήσειν ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους.
would-hold our indeed might and hands invincible
οἵ δ', ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι
they but as — wasps at-the-waist nimble or bees
οἰκία ποιήσωνται ὁδῷ ἔπι παιπαλοέσσῃ,
homes make the-road by rugged
οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες
nor leave the-hollow house but staying
ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων,
men hunters ward-off for children
ὣς οἵ γ' οὐκ ἐθέλουσι πυλάων καὶ δύ' ἐόντε
so they indeed not wish from-the-gates even two being
χάσσασθαι πρίν γ' ἠὲ κατακτάμεν ἠὲ ἁλῶναι."
to-give-way before indeed either to-kill or to-be-taken

Zeus does not heed Asius. The fight rages at every gate. Polypoetes and Leonteus kill several Trojans. As Hector's men prepare to cross the ditch, an eagle flies by on the left carrying a blood-red snake, which bites it and is dropped among the Trojans. Polydamas tells Hector that the omen means that, even if they break the wall, they will not return in good order, but will lose many men at the ships.

Ὣς ἔφατ', οὐδὲ Διὸς πεῖθε φρένα ταῦτ' ἀγορεύων·
So he-spoke nor of-Zeus persuaded the-mind these-things speaking
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι.
to-Hector for his heart wished glory to-grant
Ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν·
Others and about other battle fought gates
ἀργαλέον δέ με ταῦτα θεὸν ὡς πάντ' ἀγορεῦσαι·
hard and for-me these-things a-god like all to-tell
πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
everywhere for around the-wall had-arisen wondrous fire
λάϊνον· Ἀργεῖοι δὲ καὶ ἀχνύμενοί περ ἀνάγκῃ
of-stone the-Argives and even grieving though by-necessity
νηῶν ἠμύνοντο· θεοὶ δ' ἀκαχήατο θυμὸν
the-ships defended the-gods and were-grieved in-heart
πάντες, ὅσοι Δαναοῖσι μάχης ἐπιτάρροθοι ἦσαν.
all as-many-as to-the-Danaans in-battle helpers were
σὺν δ' ἔβαλον Λαπίθαι πόλεμον καὶ δηϊοτῆτα.
together and joined the-Lapiths war and combat
Ἔνθ' αὖ Πειριθόου υἱός, κρατερὸς Πολυποίτης,
Then again of-Peirithous the-son mighty Polypoetes
δουρὶ βάλεν Δάμασον κυνέης διὰ χαλκοπαρῄου·
with-spear hit Damasus the-helmet through bronze-cheeked

οὐδ᾽ ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ διαπρὸ
nor then the-bronze helmet held-it but right-through
αἰχμὴ χαλκείη ῥῆξ᾽ ὀστέον, ἐγκέφαλος δὲ
the-point bronze broke the-bone the-brain and
ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα·
inside all was-spattered he-subdued and him eager
αὐτὰρ ἔπειτα Πύλωνα καὶ Ὄρμενον ἐξενάριξεν.
but then Pylon and Ormenus slew
υἱὸν δ᾽ Ἀντιμάχοιο Λεοντεύς, ὄζος Ἄρηος,
the-son and of-Antimachus Leonteus scion of-Ares
Ἱππόμαχον βάλε δουρὶ κατὰ ζωστῆρα τυχήσας.
Hippomachus hit with-spear on the-belt striking
αὖτις δ᾽ ἐκ κολεοῖο ἐρυσσάμενος ξίφος ὀξὺ
again and out-of the-sheath drawing sword sharp
Ἀντιφάτην μὲν πρῶτον, ἐπαΐξας δι᾽ ὁμίλου,
Antiphates indeed first darting-at through the-throng
πλῆξ᾽ αὐτοσχεδίην· ὁ δ᾽ ἄρ᾽ ὕπτιος οὔδει ἐρείσθη·
struck at-close-quarters he and then backward on-the-ground was-thrown
αὐτὰρ ἔπειτα Μένωνα καὶ Ἰαμενὸν καὶ Ὀρέστην
but then Menon and Iamenus and Orestes
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
all one-after-another brought to-the-earth much-nourishing
Ὄφρ᾽ οἱ τοὺς ἐνάριζον ἀπ᾽ ἔντεα μαρμαίροντα,
While they them stripped of arms gleaming
τόφρ᾽ οἳ Πουλυδάμαντι καὶ Ἕκτορι κοῦροι ἕποντο,
so-long those with-Polydamas and Hector young-men followed
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, μέμασαν δὲ μάλιστα
who most and best were were-eager and most
τεῖχός τε ῥῆξειν καὶ ἐνιπρήσειν πυρὶ νῆας,
the-wall both to-break and to-burn with-fire the-ships

οἵ ῥ᾽ ἔτι μερμήριζον ἐφεσταότες παρὰ τάφρῳ.
they then still pondered standing by the-ditch
ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν,
a-bird for to-them came to-cross eager
αἰετὸς ὑψιπέτης ἐπ᾽ ἀριστερὰ λαὸν ἐέργων,
an-eagle high-flying on the-left the-host keeping-off
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
a-blood-red snake carrying in-its-talons monstrous
ζωὸν ἔτ᾽ ἀσπαίροντα· καὶ οὔ πω λήθετο χάρμης·
alive still writhing and not yet forgot the-fight
κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρὴν
it-struck for it holding on the-breast by the-neck
ἰδνωθεὶς ὀπίσω· ὁ δ᾽ ἀπὸ ἕθεν ἧκε χαμᾶζε
bending backward it and away from-itself let-go to-the-ground
ἀλγήσας ὀδύνῃσι, μέσῳ δ᾽ ἐνὶ κάββαλ᾽ ὁμίλῳ,
pained with-pains in-the-middle and in dropped(-it) the-throng
αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο.
itself and screaming flew on-the-blasts of-the-wind
Τρῶες δ᾽ ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν
the-Trojans and shuddered when they-saw the-glistening snake
κείμενον ἐν μέσσοισι, Διὸς τέρας αἰγιόχοιο.
lying in the-middle of-Zeus a-portent aegis-bearing
δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
indeed then Polydamas bold Hector addressed standing-by

“ Ἕκτορ, ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῇσιν
Hector always indeed somehow me you-rebuke in-assemblies
ἐσθλὰ φραζομένῳ, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικε
good advising since not-even indeed not-even is-it-fitting
δῆμον ἐόντα παρὲξ ἀγορευέμεν, οὔτ’ ἐνὶ βουλῇ
of-the-people being contrary to-speak neither in counsel
οὔτε ποτ’ ἐν πολέμῳ, σὸν δὲ κράτος αἰὲν ἀέξειν·
nor ever in war your and power always to-increase
νῦν αὖτ’ ἐξερέω ὥς μοι δοκεῖ εἶναι ἄριστα. 215
now again I-will-speak-out as to-me seems to-be best
μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν.
not let-us-go with-the-Danaans to-fight around the-ships
ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε
thus for to-be-fulfilled I-think if truly indeed
Τρωσὶν ὅδ’ ὄρνις ἦλθε περησέμεναι μεμαῶσιν,
to-the-Trojans this bird came to-cross eager
αἰετὸς ὑψιπέτης ἐπ’ ἀριστερὰ λαὸν ἐέργων,
an-eagle high-flying on the-left the-host keeping-off
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον 220
a-blood-red snake carrying in-its-talons monstrous
ζωόν· ἄφαρ δ’ ἀφέηκε πάρος φίλα οἰκί’ ἱκέσθαι,
alive at-once and let-it-go before dear home to-reach
οὐδὲ τέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν.
nor did-it-accomplish carrying to-give to-children its-own
ὣς ἡμεῖς, εἴ πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν
so we if indeed — the-gates and wall of-the-Achaeans
ῥηξόμεθα σθένεϊ μεγάλῳ, εἴξωσι δ’ Ἀχαιοί,
we-break with-strength great yield and the-Achaeans
οὐ κόσμῳ παρὰ ναῦφιν ἐλευσόμεθ’ αὐτὰ κέλευθα· 225
not in-order from the-ships shall-we-come the-same paths

πολλοὺς γὰρ Τρώων καταλείψομεν, οὕς κεν Ἀχαιοὶ
many for of-the-Trojans we-shall-leave whom — the-Achaeans
χαλκῷ δηώσωσιν ἀμυνόμενοι περὶ νηῶν.
with-bronze will-slay defending around the-ships
ὧδέ χ' ὑποκρίναιτο θεοπρόπος, ὃς σάφα θυμῷ
so — would-interpret a-seer who clearly in-heart
εἰδείη τεράων καί οἱ πειθοίατο λαοί."
knew of-portents and him would-obey the-host

XII.4 · SARPEDON AND GLAUCUS

Hector answers that Polydamas has lost his wits, that he trusts Zeus' promise, not birds, and that the one best omen is to fight for the fatherland. He threatens to kill Polydamas if he holds back. Zeus sends a dust storm against the ships, and the Trojans pry at the wall. The two Ajaxes rally the Achaeans as stones fly thick as snow. Zeus rouses Sarpedon, who tells Glaucus that kings must earn their honors in the front line, and that since death cannot be escaped, they should fight.

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Him and then from-under looking addressed helmet-flashing Hector
"Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
Polydamas you indeed no-longer to-me pleasing these-things speak
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
you-know also another word better than-this to-devise
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
if but truly indeed this in earnest you-speak
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί,
out then indeed for-you then the-gods the-wits have-destroyed themselves

ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι
who bid of-Zeus indeed loud-thundering to-forget
βουλέων, ἅς τέ μοι αὐτὸς ὑπέσχετο καὶ κατένευσε·
the-counsels which — to-me himself promised and nodded-assent
τύνη δ᾽ οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις
you and to-birds long-winged bid
πείθεσθαι, τῶν οὔ τι μετατρέπομ᾽ οὐδ᾽ ἀλεγίζω,
to-obey for-which not at-all I-turn nor care
εἴτ᾽ ἐπὶ δεξί᾽ ἴωσι πρὸς ἠῶ τ᾽ ἠέλιόν τε,
whether to the-right they-go toward the-dawn both the-sun and
εἴτ᾽ ἐπ᾽ ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα.
or to the-left they indeed toward the-gloom misty
ἡμεῖς δὲ μεγάλοιο Διὸς πειθώμεθα βουλῇ,
we but of-great Zeus let-us-obey the-counsel
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
who over-all mortals and immortals rules
εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.
one omen best to-fight for the-fatherland
τίπτε σὺ δείδοικας πόλεμον καὶ δηϊοτῆτα;
why you fear war and combat
εἴ περ γάρ τ᾽ ἄλλοι γε περὶ κτεινώμεθα πάντες
if indeed for — others indeed around are-slain all
νηυσὶν ἐπ᾽ Ἀργείων, σοὶ δ᾽ οὐ δέος ἔστ᾽ ἀπολέσθαι·
the-ships by of-the-Argives for-you but not fear is to-perish
οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων.
not for your heart steadfast nor warlike

εἰ δὲ σὺ δηϊοτῆτος ἀφέξεαι, ἠέ τιν᾽ ἄλλον
if but you from-the-combat hold-back or any other
παρφάμενος ἐπέεσσιν ἀποτρέψεις πολέμοιο,
beguiling with-words turn-away from-war
αὐτίκ᾽ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσεις."
at-once my under spear struck away life you-will-lose
Ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ᾽ ἅμ᾽ ἕποντο
So then having-spoken he-led they and with followed
ἠχῇ θεσπεσίῃ· ἐπὶ δὲ Ζεὺς τερπικέραυνος
with-a-din wondrous on and Zeus thunder-delighting
ὦρσεν ἀπ᾽ Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν,
roused from the-Idaean mountains of-wind a-gust
ἥ ῥ᾽ ἰθὺς νηῶν κονίην φέρεν· αὐτὰρ Ἀχαιῶν
which then straight for-the-ships the-dust carried but of-the-Achaeans
θέλγε νόον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε.
charmed the-mind to-the-Trojans and also to-Hector glory granted
τοῦ περ δὴ τεράεσσι πεποιθότες ἠδὲ βίηφι
his indeed indeed in-the-portents trusting and in-might
ῥήγνυσθαι μέγα τεῖχος Ἀχαιῶν πειρήτιζον.
to-break the-great wall of-the-Achaeans they-tried
κρόσσας μὲν πύργων ἔρυον, καὶ ἔρειπον ἐπάλξεις,
the-copings indeed of-the-towers they-pulled and threw-down the-battlements
στήλας τε προβλῆτας ἐμόχλεον, ἃς ἄρ᾽ Ἀχαιοὶ
the-pillars and projecting they-pried-up which then the-Achaeans
πρώτας ἐν γαίῃ θέσαν ἔμμεναι ἔχματα πύργων.
first in the-earth set to-be supports of-the-towers
τὰς οἵ γ᾽ αὐέρυον, ἔλποντο δὲ τεῖχος Ἀχαιῶν
them they indeed pulled-out they-hoped and the-wall of-the-Achaeans
ῥήξειν· οὐδέ νύ πω Δαναοὶ χάζοντο κελεύθου,
to-break nor now yet the-Danaans gave-way from-the-path

ἀλλ᾽ οἵ γε ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις
but they indeed with-hides of-oxen fencing the-battlements
βάλλον ἀπ᾽ αὐτάων δηΐους ὑπὸ τεῖχος ἰόντας.
threw from them at-the-foes under the-wall coming
Ἀμφοτέρω δ᾽ Αἴαντε κελευτιόωντ᾽ ἐπὶ πύργων
Both and Ajaxes giving-orders on the-towers
πάντοσε φοιτήτην, μένος ὀτρύνοντες Ἀχαιῶν.
everywhere went the-might rousing of-the-Achaeans
ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι
one with-gentle another with-harsh words
νείκεον, ὅν τινα πάγχυ μάχης μεθιέντα ἴδοιεν·
rebuked whom any altogether from-battle slacking they-saw
"ὦ φίλοι, Ἀργείων ὅς τ᾽ ἔξοχος ὅς τε μεσήεις
O friends of-the-Argives whoever — is-pre-eminent whoever and middling
ὅς τε χερειότερος, ἐπεὶ οὔ πω πάντες ὁμοῖοι
whoever and is-worse since not yet all alike
ἀνέρες ἐν πολέμῳ, νῦν ἔπλετο ἔργον ἅπασι·
men in war now there-is work for-all
καὶ δ᾽ αὐτοὶ τόδε που γιγνώσκετε. μή τις ὀπίσσω
and also yourselves this surely know let-not any backward
τετράφθω ποτὶ νῆας ὁμοκλητῆρος ἀκούσας,
be-turned to the-ships the-shouter hearing
ἀλλὰ πρόσω ἴεσθε καὶ ἀλλήλοισι κέλεσθε,
but forward go and each-other urge
αἴ κε Ζεὺς δώῃσιν Ὀλύμπιος ἀστεροπητὴς
if — Zeus grant Olympian the-lightener
νεῖκος ἀπωσαμένους δηΐους προτὶ ἄστυ δίεσθαι."
the-strife thrusting-back the-foes to the-town to-chase

Ὣς τώ γε προβοῶντε μάχην ὄτρυνον Ἀχαιῶν.
So they-two indeed shouting-forth the-battle roused of-the-Achaeans
τῶν δ', ὥς τε νιφάδες χιόνος πίπτωσι θαμειαὶ
of-them and as — flakes of-snow fall thick
ἤματι χειμερίῳ, ὅτε τ' ὦρετο μητίετα Ζεὺς
on-day wintry when — has-risen counselor Zeus
νιφέμεν, ἀνθρώποισι πιφαυσκόμενος τὰ ἃ κῆλα·
to-snow on-men showing these his shafts
κοιμήσας δ' ἀνέμους χέει ἔμπεδον, ὄφρα καλύψῃ
lulling and the-winds he-pours steadily until he-covers
ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρώονας ἄκρους
of-high mountains the-peaks and headlands lofty
καὶ πεδία λωτοῦντα καὶ ἀνδρῶν πίονα ἔργα,
and plains grassy and of-men rich tilled-fields
καί τ' ἐφ' ἁλὸς πολιῆς κέχυται λιμέσιν τε καὶ ἀκταῖς,
and — on the-sea gray it-is-poured harbors both and shores
κῦμα δέ μιν προσπλάζον ἐρύκεται· ἄλλα τε πάντα
the-wave but it washing-up keeps-off the-others and all
εἴλυται καθύπερθ', ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος·
are-wrapped above when weighs-down of-Zeus storm
ὣς τῶν ἀμφοτέρωσε λίθοι πωτῶντο θαμειαί,
so of-them both-ways the-stones flew thick
αἱ μὲν ἄρ' ἐς Τρῶας, αἱ δ' ἐκ Τρώων ἐς Ἀχαιούς,
the-ones indeed then at the-Trojans the-others and from the-Trojans at the-Achaeans
βαλλομένων· τὸ δὲ τεῖχος ὕπερ πᾶν δοῦπος ὀρώρει.
being-hit the and wall above all the-din arose
Οὐδ' ἄν πω τότε γε Τρῶες καὶ φαίδιμος Ἕκτωρ
Nor — yet then indeed the-Trojans and glorious Hector
τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα,
of-the-wall would-have-broken the-gates and the-long bar

εἰ μὴ ἄρ᾽ υἱὸν ἑὸν Σαρπηδόνα μητίετα Ζεὺς
if not then son his-own Sarpedon counselor Zeus
ὦρσεν ἐπ᾽ Ἀργείοισι, λέονθ᾽ ὡς βουσὶν ἕλιξιν.
roused against the-Argives a-lion like against-cattle crumple-horned
αὐτίκα δ᾽ ἀσπίδα μὲν πρόσθ᾽ ἔσχετο πάντοσ᾽ ἐΐσην,
at-once and the-shield indeed before-him he-held on-all-sides balanced
καλὴν χαλκείην ἐξήλατον, ἣν ἄρα χαλκεὺς
fair bronze hammered which then the-smith
ἤλασεν, ἔντοσθεν δὲ βοείας ῥάψε θαμειὰς
hammered within and oxhides stitched thick
χρυσείῃς ῥάβδοισι διηνεκέσιν περὶ κύκλον.
with-golden rods continuous around the-circle
τὴν ἄρ᾽ ὅ γε πρόσθε σχόμενος, δύο δοῦρε τινάσσων,
it then he indeed before-him holding two spears brandishing
βῆ ῥ᾽ ἴμεν ὥς τε λέων ὀρεσίτροφος, ὅς τ᾽ ἐπιδευὴς
went then to-go as — a-lion mountain-bred who — lacking
δηρὸν ἔῃ κρειῶν, κέλεται δέ ἑ θυμὸς ἀγήνωρ
long is of-meat bids and him the-heart lordly
μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν·
the-flocks to-try and into the-close fold to-go
εἴ περ γάρ χ᾽ εὕρῃσι παρ᾽ αὐτόφι βώτορας ἄνδρας
if even for — he-finds beside them herdsmen men
σὺν κυσὶ καὶ δούρεσσι φυλάσσοντας περὶ μῆλα,
with dogs and spears guarding around the-flocks
οὔ ῥά τ᾽ ἀπείρητος μέμονε σταθμοῖο δίεσθαι,
not then — untried he-is-minded from-the-steading to-be-chased
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἢ ἥρπαξε μετάλμενος, ἠὲ καὶ αὐτὸς
but he indeed then either seizes leaping-in or also himself
ἔβλητ᾽ ἐν πρώτοισι θοῆς ἀπὸ χειρὸς ἄκοντι·
is-hit among the-foremost swift from hand with-a-javelin

ὣς ῥα τότ᾽ ἀντίθεον Σαρπηδόνα θυμὸς ἀνῆκε
so then then godlike Sarpedon the-heart urged
τεῖχος ἐπαΐξαι διά τε ῥήξασθαι ἐπάλξεις.
the-wall to-rush-at through and to-break the-battlements
αὐτίκα δὲ Γλαῦκον προσέφη, παῖδ᾽ Ἱππολόχοιο·
at-once and Glaucus he-addressed son of-Hippolochus
"Γλαῦκε, τίη δὴ νῶϊ τετιμήμεσθα μάλιστα
Glaucus why indeed we-two are-honored most
ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσιν
with-seat both meats and and full cups
ἐν Λυκίῃ, πάντες δὲ θεοὺς ὣς εἰσορόωσι,
in Lycia all and gods like look-upon
καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ᾽ ὄχθας
and a-domain we-hold great of-Xanthus by the-banks
καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο;
fair of-orchard and plowland wheat-bearing
τῶ νῦν χρὴ Λυκίοισι μέτα πρώτοισιν ἐόντας
therefore now we-must the-Lycians among foremost being
ἑστάμεν ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι,
to-stand and the-battle blazing to-meet
ὄφρα τις ὧδ᾽ εἴπῃ Λυκίων πύκα θωρηκτάων·
that someone thus may-say of-the-Lycians closely corseleted

‘οὐ μὰν ἀκλεέες Λυκίην κάτα κοιρανέουσιν
not indeed inglorious Lycia through are-lords
ἡμέτεροι βασιλῆες, ἔδουσί τε πίονα μῆλα
our kings eat and fat sheep
οἶνόν τ’ ἔξαιτον μελιηδέα· ἀλλ’ ἄρα καὶ ἴς
wine and choice honey-sweet but then also the-strength
ἐσθλή, ἐπεὶ Λυκίοισι μέτα πρώτοισι μάχονται.’
is-noble since the-Lycians among foremost they-fight
ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε
O friend if indeed for war around this escaping
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ’ ἀθανάτω τε
forever indeed we-were-to ageless both deathless and
ἔσσεσθ’, οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην
to-be neither — myself among the-foremost would-fight
οὔτε κε σὲ στέλλοιμι μάχην ἐς κυδιάνειραν·
nor — you would-I-send battle into man-glorifying
νῦν δ’ ἔμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο
now but nevertheless for the-fates stand-over(-us) of-death
μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ’ ὑπαλύξαι,
countless which not is-possible to-flee a-mortal nor to-escape
ἴομεν, ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.”
let-us-go either to-someone glory we-shall-give or someone to-us

Sarpedon and Glaucus lead the Lycians against Menestheus' tower. Menestheus sends the herald Thoötes to call the two Ajaxes. Telamonian Ajax and Teucer come, leaving the lesser Ajax and Lycomedes. Ajax kills Epicles with a great stone. Teucer's arrow wounds Glaucus in the arm, and Glaucus slips away unseen. Sarpedon kills Alcmaon, then pulls down a section of the battlements and opens a path for many.

Ὣς ἔφατ', οὐδὲ Γλαῦκος ἀπετράπετ' οὐδ' ἀπίθησε·
So he-spoke nor Glaucus turned-away nor disobeyed
τὼ δ' ἰθὺς βήτην Λυκίων μέγα ἔθνος ἄγοντε.
they-two and straight went of-the-Lycians the-great band leading
τοὺς δὲ ἰδὼν ῥίγησ' υἱὸς Πετεῶο Μενεσθεύς·
them and seeing shuddered the-son of-Peteos Menestheus
τοῦ γὰρ δὴ πρὸς πύργον ἴσαν κακότητα φέροντες.
his for indeed toward the-tower they-went ruin bringing
πάπτηνεν δ' ἀνὰ πύργον Ἀχαιῶν, εἴ τιν' ἴδοιτο
he-peered and along the-tower of-the-Achaeans if any he-might-see
ἡγεμόνων, ὅς τίς οἱ ἀρὴν ἑτάροισιν ἀμύναι·
of-the-leaders who any for-him ruin from-his-comrades might-ward-off
ἐς δ' ἐνόησ' Αἴαντε δύω, πολέμου ἀκορήτω,
in and he-noticed Ajaxes two of-war insatiate
ἑσταότας, Τεῦκρόν τε νέον κλισίηθεν ἰόντα,
standing Teucer and newly from-the-hut coming
ἐγγύθεν· ἀλλ' οὔ πώς οἱ ἔην βώσαντι γεγωνεῖν·
near but not at-all for-him was-it-possible shouting to-make-heard
τόσσος γὰρ κτύπος ἦεν, ἀϋτὴ δ' οὐρανὸν ἷκε,
so-great for the-din was the-cry and heaven reached

βαλλομένων σακέων τε καὶ ἱπποκόμων τρυφαλειῶν
being-struck of-shields both and horsehair-crested helmets
καὶ πυλέων· πᾶσαι γὰρ ἐπώχατο, τοὶ δὲ κατ' αὐτὰς
and of-gates all for were-shut they and at them
ἱστάμενοι πειρῶντο βίῃ ῥήξαντες ἐσελθεῖν.
standing tried by-force breaking to-enter
αἶψα δ' ἐπ' Αἴαντα προΐει κήρυκα Θοώτην·
quickly and to Ajax he-sent-forth the-herald Thootes
"ἔρχεο, δῖε Θοῶτα, θέων Αἴαντα κάλεσσον,
go noble Thootes running Ajax call
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων
both indeed rather that for — far best of-all
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος.
would-be since soon here will-be-wrought sheer destruction
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
so for have-pressed-on of-the-Lycians the-leaders who — before indeed
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
fierce are in mighty combats
εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν,
if but for-them also there toil and strife has-arisen
ἀλλά περ οἷος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
but at-least alone let-go Telamonian valiant Ajax
καί οἱ Τεῦκρος ἅμα σπέσθω τόξων ἐὺ εἰδώς."
and with-him Teucer with let-follow of-the-bow well knowing
Ὣς ἔφατ', οὐδ' ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας,
So he-spoke nor then him the-herald disobeyed hearing
βῆ δὲ θέειν παρὰ τεῖχος Ἀχαιῶν χαλκοχιτώνων,
went and to-run along the-wall of-the-Achaeans bronze-coated
στῆ δὲ παρ' Αἰάντεσσι κιών, εἶθαρ δὲ προσηύδα·
stood and by the-Ajaxes coming at-once and addressed

"Αἴαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
Ajaxes of-the-Argives leaders-two bronze-coated
ἠνώγει Πετεῶο διοτρεφέος φίλος υἱὸς
bids of-Peteos Zeus-nurtured the-dear son
κεῖσ' ἴμεν, ὄφρα πόνοιο μίννυθά περ ἀντιάσητον,
there to-go that the-toil briefly though you-two-may-meet
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων
both indeed rather that for — far best of-all
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος·
would-be since soon there will-be-wrought sheer destruction
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
so for have-pressed-on of-the-Lycians the-leaders who — before indeed
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
fierce are in mighty combats
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμος καὶ νεῖκος ὄρωρεν,
if but also here indeed war and strife has-arisen
ἀλλά περ οἷος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
but at-least alone let-go Telamonian valiant Ajax
καί οἱ Τεῦκρος ἅμα σπέσθω τόξων ἐῢ εἰδώς."
and with-him Teucer with let-follow of-the-bow well knowing
Ὣς ἔφατ', οὐδ' ἀπίθησε μέγας Τελαμώνιος Αἴας.
So he-spoke nor disobeyed great Telamonian Ajax
αὐτίκ' Ὀϊλιάδην ἔπεα πτερόεντα προσηύδα·
at-once the-son-of-Oïleus words winged addressed
"Αἶαν, σφῶϊ μὲν αὖθι, σὺ καὶ κρατερὸς Λυκομήδης,
Ajax you-two indeed here you and mighty Lycomedes
ἑσταότες Δαναοὺς ὀτρύνετον ἶφι μάχεσθαι·
standing the-Danaans urge mightily to-fight

αὐτὰρ ἐγὼ κεῖσ᾽ εἶμι καὶ ἀντιόω πολέμοιο·
but I there go and face the-war
αἶψα δ᾽ ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπαμύνω.”
quickly and I-will-come back when well them I-have-helped
Ὣς ἄρα φωνήσας ἀπέβη Τελαμώνιος Αἴας,
So then having-spoken went-away Telamonian Ajax
καί οἱ Τεῦκρος ἅμ᾽ ἦε κασίγνητος καὶ ὄπατρος·
and him Teucer with went brother and of-the-same-father
τοῖς δ᾽ ἅμα Πανδίων Τεύκρου φέρε καμπύλα τόξα.
them and with Pandion of-Teucer carried the-curved bow
εὖτε Μενεσθῆος μεγαθύμου πύργον ἵκοντο
when of-Menestheus great-hearted the-tower they-reached
τείχεος ἐντὸς ἰόντες, ἐπειγομένοισι δ᾽ ἵκοντο,
the-wall inside going to-hard-pressed and they-came
οἱ δ᾽ ἐπ᾽ ἐπάλξεις βαῖνον ἐρεμνῇ λαίλαπι ἶσοι
they and onto the-battlements went to-a-dark squall like
ἴφθιμοι Λυκίων ἡγήτορες ἠδὲ μέδοντες·
mighty of-the-Lycians leaders and rulers
σὺν δ᾽ ἐβάλοντο μάχεσθαι ἐναντίον, ὦρτο δ᾽ ἀϋτή.
together and they-joined to-fight facing rose and the-cry
Αἴας δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα,
Ajax and first Telamonian a-man killed
Σαρπήδοντος ἑταῖρον, Ἐπικλῆα μεγάθυμον,
of-Sarpedon comrade Epicles great-hearted
μαρμάρῳ ὀκριόεντι βαλών, ὅ ῥα τείχεος ἐντὸς
with-a-stone jagged hitting which then the-wall within
κεῖτο μέγας παρ᾽ ἔπαλξιν ὑπέρτατος· οὐδέ κέ μιν ῥέα
lay great by the-battlement topmost nor — it easily
χείρεσσ᾽ ἀμφοτέρῃς ἔχοι ἀνὴρ οὐδὲ μάλ᾽ ἡβῶν,
with-hands both would-hold a-man not-even very in-his-prime

οἷοι νῦν βροτοί εἰσ᾽· ὁ δ᾽ ἄρ᾽ ὑψόθεν ἔμβαλ᾽ ἀείρας,
such-as now mortals are he and then from-on-high threw lifting
θλάσσε δὲ τετράφαλον κυνέην, σὺν δ᾽ ὀστέ᾽ ἄραξε
crushed and the-four-horned helmet together and the-bones he-smashed
πάντ᾽ ἄμυδις κεφαλῆς· ὁ δ᾽ ἄρ᾽ ἀρνευτῆρι ἐοικὼς
all at-once of-the-head he and then to-a-diver like
κάππεσ᾽ ἀφ᾽ ὑψηλοῦ πύργου, λίπε δ᾽ ὀστέα θυμός.
fell from the-high tower left and the-bones the-spirit
Τεῦκρος δὲ Γλαῦκον, κρατερὸν παῖδ᾽ Ἱπολόχοιο,
Teucer and Glaucus mighty son of-Hippolochus
ἰῷ ἐπεσσύμενον βάλε τείχεος ὑψηλοῖο,
with-an-arrow rushing-on hit from-the-wall high
ᾗ ῥ᾽ ἴδε γυμνωθέντα βραχίονα, παῦσε δὲ χάρμης.
where then he-saw bared the-arm he-stopped and from-the-fight
ἂψ δ᾽ ἀπὸ τείχεος ἅλτο λαθών, ἵνα μή τις Ἀχαιῶν
back and from the-wall he-leapt unseen that not any of-the-Achaeans
βλήμενον ἀθρήσειε καὶ εὐχετόῳτ᾽ ἐπέεσσι.
hit might-see and might-boast with-words
Σαρπήδοντι δ᾽ ἄχος γένετο Γλαύκου ἀπιόντος,
for-Sarpedon and grief arose with-Glaucus going-away
αὐτίκ᾽ ἐπεί τ᾽ ἐνόησεν· ὅμως δ᾽ οὐ λήθετο χάρμης,
at-once when — he-noticed yet and not forgot the-fight
ἀλλ᾽ ὅ γε Θεστορίδην Ἀλκμάονα δουρὶ τυχήσας
but he indeed son-of-Thestor Alcmaon with-spear hitting
νύξ᾽, ἐκ δ᾽ ἔσπασεν ἔγχος· ὁ δ᾽ ἑσπόμενος πέσε δουρὶ
stabbed out and he-drew the-spear he and following fell on-the-spear
πρηνής, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
headlong around and him clanged the-arms inlaid with-bronze

Σαρπηδὼν δ᾽ ἄρ᾽ ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσιν
Sarpedon and then the-battlement taking in-hands stout
ἕλχ᾽, ἡ δ᾽ ἕσπετο πᾶσα διαμπερές, αὐτὰρ ὕπερθε
pulled it and followed all right-through but above
τεῖχος ἐγυμνώθη, πολέεσσι δὲ θῆκε κέλευθον.
the-wall was-bared for-many and he-made a-path

XII.6 · HECTOR BREAKS THE GATE

Ajax and Teucer strike at Sarpedon, but Zeus protects him, and he rallies the Lycians. Neither side can drive the other back, and they fight evenly over the battlements, like a spinning woman balancing her scales. Then Zeus gives Hector the glory. He picks up a stone two of the best men could not easily heave onto a wagon, and Zeus makes it light. He smashes the gates and leaps in with his eyes blazing, and the Trojans pour over the wall as the Achaeans flee to the ships.

Τὸν δ᾽ Αἴας καὶ Τεῦκρος ὁμαρτήσανθ᾽ ὁ μὲν ἰῷ
Him and Ajax and Teucer attacking-together the-one indeed with-an-arrow
βεβλήκει τελαμῶνα περὶ στήθεσσι φαεινὸν
had-struck the-strap around the-chest shining
ἀσπίδος ἀμφιβρότης· ἀλλὰ Ζεὺς κῆρας ἄμυνε
of-the-shield man-covering but Zeus the-fates warded-off
παιδὸς ἑοῦ, μὴ νηυσὶν ἔπι πρύμνῃσι δαμείη·
from-son his-own lest the-ships by sterns he-be-subdued
Αἴας δ᾽ ἀσπίδα νύξεν ἐπάλμενος, οὐδὲ διαπρὸ
Ajax and the-shield stabbed leaping-at nor right-through
ἦλυθεν ἐγχείη, στυφέλιξε δέ μιν μεμαῶτα.
went the-spear he-shook and him eager

χώρησεν δ' ἄρα τυτθὸν ἐπάλξιος· οὐδ' ὅ γε πάμπαν
he-gave-way and then a-little from-the-battlement nor he indeed altogether
χάζετ', ἐπεί οἱ θυμὸς ἐέλπετο κῦδος ἀρέσθαι.
withdrew since his heart hoped glory to-win
κέκλετο δ' ἀντιθέοισιν ἐλιξάμενος Λυκίοισιν·
he-called and to-the-godlike turning Lycians
"ὦ Λύκιοι, τί τ' ἄρ' ὧδε μεθίετε θούριδος ἀλκῆς;
O Lycians why — then thus do-you-slack of-furious courage
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι
hard and for-me it-is even mighty though being
μούνῳ ῥηξαμένῳ θέσθαι παρὰ νηυσὶ κέλευθον·
alone having-broken to-make by the-ships a-path
ἀλλ' ἑφομαρτεῖτε· πλεόνων δέ τε ἔργον ἄμεινον."
but follow-along of-more and — the-work better
Ὣς ἔφαθ', οἱ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν
So he-spoke they and of-the-lord fearing the-rebuke
μᾶλλον ἐπέβρισαν βουληφόρον ἀμφὶ ἄνακτα.
more pressed-on the-counsel-bearing around lord
Ἀργεῖοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
the-Argives and on-the-other-side strengthened the-battalions
τείχεος ἔντοσθεν, μέγα δέ σφισι φαίνετο ἔργον·
the-wall inside great and to-them appeared the-work
οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο
neither for the-mighty Lycians of-the-Danaans could
τεῖχος ῥηξάμενοι θέσθαι παρὰ νηυσὶ κέλευθον,
the-wall having-broken to-make by the-ships a-path
οὔτε ποτ' αἰχμηταὶ Δαναοὶ Λυκίους ἐδύναντο
nor ever the-spearmen Danaans the-Lycians could
τείχεος ἂψ ὤσασθαι, ἐπεὶ τὰ πρῶτα πέλασθεν.
from-the-wall back thrust when — first they-had-come-near

ἀλλ᾽ ὥς τ᾽ ἀμφ᾽ οὔροισι δύ᾽ ἀνέρε δηριάασθον,
but as — about boundaries two men contend
μέτρ᾽ ἐν χερσὶν ἔχοντες, ἐπιξύνῳ ἐν ἀρούρῃ,
measuring-rods in hands holding common in field
ὥ τ᾽ ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴσης,
who-two — small in space strive for an-equal-share
ὣς ἄρα τοὺς διέεργον ἐπάλξιες· οἱ δ᾽ ὑπὲρ αὐτέων
so then them parted the-battlements they and over them
δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας
were-hewing each-other around breasts oxhide
ἀσπίδας εὐκύκλους λαισήϊά τε πτερόεντα.
shields well-rounded bucklers and fluttering
πολλοὶ δ᾽ οὐτάζοντο κατὰ χρόα νηλέϊ χαλκῷ,
many and were-wounded on the-flesh with-pitiless bronze
ἠμὲν ὅτεῳ στρεφθέντι μετάφρενα γυμνωθείη
both to-whomever turning the-back was-bared
μαρναμένων, πολλοὶ δὲ διαμπερὲς ἀσπίδος αὐτῆς.
of-the-fighters many and right-through the-shield itself
πάντῃ δὴ πύργοι καὶ ἐπάλξιες αἵματι φωτῶν
everywhere indeed towers and battlements with-blood of-men
ἐρράδατ᾽ ἀμφοτέρωθεν ἀπὸ Τρώων καὶ Ἀχαιῶν.
were-sprinkled on-both-sides from Trojans and Achaeans
ἀλλ᾽ οὐδ᾽ ὥς ἐδύναντο φόβον ποιῆσαι Ἀχαιῶν,
but not-even so could rout make of-the-Achaeans
ἀλλ᾽ ἔχον ὥς τε τάλαντα γυνὴ χερνῆτις ἀληθής,
but they-held as — the-scales a-woman spinning honest
ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει
who — the-weight holding and the-wool on-both-sides lifts
ἰσάζουσ᾽, ἵνα παισὶν ἀεικέα μισθὸν ἄρηται·
balancing that for-children a-meager wage she-may-win

ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε,
so indeed of-them on equal-terms the-battle was-strained war and
πρίν γ' ὅτε δὴ Ζεὺς κῦδος ὑπέρτερον Ἕκτορι δῶκε
until indeed when indeed Zeus glory higher to-Hector gave
Πριαμίδῃ, ὃς πρῶτος ἐσήλατο τείχος Ἀχαιῶν.
son-of-Priam who first leapt-into the-wall of-the-Achaeans
ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
he-shouted and piercingly to-the-Trojans calling
"ὄρνυσθ', ἱππόδαμοι Τρῶες, ῥήγνυσθε δὲ τεῖχος
rise horse-taming Trojans break and the-wall
Ἀργείων καὶ νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ."
of-the-Argives and into-the-ships hurl wondrous fire
Ὣς φάτ' ἐποτρύνων, οἱ δ' οὔασι πάντες ἄκουον,
So he-spoke urging they and with-ears all heard
ἴθυσαν δ' ἐπὶ τεῖχος ἀολλέες· οἱ μὲν ἔπειτα
charged and at the-wall together they indeed then
κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ' ἔχοντες,
the-copings mounted sharpened spears holding
Ἕκτωρ δ' ἁρπάξας λᾶαν φέρεν, ὅς ῥα πυλάων
Hector and snatching a-stone carried which then of-the-gates
ἑστήκει πρόσθε, πρυμνὸς παχύς, αὐτὰρ ὕπερθεν
stood before thick-at-the-base thick but above
ὀξὺς ἔην· τὸν δ' οὔ κε δύ' ἀνέρε δήμου ἀρίστω
sharp it-was it and not — two men of-the-people best
ῥηϊδίως ἐπ' ἄμαξαν ἀπ' οὐδέος ὀχλίσσειαν,
easily onto a-wagon from the-ground could-heave
οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἷος.
such-as now mortals are he and it easily brandished even alone
τόν οἱ ἐλαφρὸν ἔθηκε Κρόνου πάϊς ἀγκυλομήτεω.
it for-him light made of-Cronus the-son crooked-counseled

ὡς δ’ ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενος οἰὸς
as and when a-shepherd easily carries the-fleece of-a-male sheep
χειρὶ λαβὼν ἑτέρῃ, ὀλίγον τέ μιν ἄχθος ἐπείγει,
in-hand taking the-other little and him the-weight presses
ὣς Ἕκτωρ ἰθὺς σανίδων φέρε λᾶαν ἀείρας,
so Hector straight for-the-doors carried the-stone lifting
αἳ ῥα πύλας εἴρυντο πύκα στιβαρῶς ἀραρυίας,
which then the-gates guarded close strongly fitted
δικλίδας ὑψηλάς· δοιοὶ δ’ ἔντοσθεν ὀχῆες 455
double high two and within bars
εἶχον ἐπημοιβοί, μία δὲ κληῖς ἐπαρήρει.
held overlapping one and bolt was-fitted
στῆ δὲ μάλ’ ἐγγὺς ἰών, καὶ ἐρεισάμενος βάλε μέσσας,
stood and very near going and planting-himself he-hit the-middle
εὖ διαβάς, ἵνα μή οἱ ἀφαυρότερον βέλος εἴη,
well astride that not for-him weaker the-cast might-be

ῥῆξε δ᾽ ἀπ᾽ ἀμφοτέρους θαιρούς· πέσε δὲ λίθος εἴσω
broke and off both hinges fell and the-stone inside
βριθοσύνῃ, μέγα δ᾽ ἀμφὶ πύλαι μύκον, οὐδ᾽ ἄρ᾽ ὀχῆες
with-its-weight greatly and around the-gates groaned nor then the-bars
ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλη
held the-doors and were-split one-here another-there
λαὸς ὑπὸ ῥιπῆς· ὁ δ᾽ ἄρ᾽ ἔσθορε φαίδιμος Ἕκτωρ
of-the-stone under the-force he and then leapt-in glorious Hector
νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια· λάμπε δὲ χαλκῷ
to-night swift equal in-face shone and with-bronze
σμερδαλέῳ, τὸν ἕεστο περὶ χροΐ, δοιὰ δὲ χερσὶ
terrible which he-wore around the-flesh two and in-hands
δοῦρ᾽ ἔχεν· οὔ κέν τίς μιν ἐρύκακεν ἀντιβολήσας
spears he-held not — any him could-have-checked meeting
νόσφι θεῶν, ὅτ᾽ ἐσᾶλτο πύλας· πυρὶ δ᾽ ὄσσε δεδήει.
apart from-the-gods when he-leapt-into the-gates with-fire and the-eyes blazed
κέκλετο δὲ Τρώεσσιν ἐλιξάμενος καθ᾽ ὅμιλον
he-called and to-the-Trojans turning through the-throng
τεῖχος ὑπερβαίνειν· τοὶ δ᾽ ὀτρύνοντι πίθοντο.
the-wall to-climb they and him-urging obeyed
αὐτίκα δ᾽ οἱ μὲν τεῖχος ὑπέρβασαν, οἱ δὲ κατ᾽ αὐτὰς
at-once and some indeed the-wall climbed-over others and through the-very
ποιητὰς ἐσέχυντο πύλας· Δαναοὶ δὲ φόβηθεν
well-made poured-in gates the-Danaans and were-routed
νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ᾽ ἀλίαστος ἐτύχθη.
the-ships among hollow uproar and incessant arose

BOOK XIII

XIII.1 · POSEIDON COMES

Zeus turns his eyes away from Troy, thinking no god will intervene. But Poseidon, watching from Samothrace, pities the Achaeans and is angry with Zeus. With his fourth stride he reaches Aegae, yokes his bronze-hoofed horses, and drives over the sea, which parts for him. Leaving the horses in a cave, he goes to the army in the likeness of Calchas. He fills the two Ajaxes with strength. The lesser Ajax knows him for a god by his stride, and both feel their hands and feet eager to fight.

Ζεὺς δ᾽ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε,
Zeus and when then the-Trojans both and Hector to-the-ships had-brought-near
τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ᾽ ἐχέμεν καὶ ὀϊζὺν
them indeed he-let by them toil both to-have and misery
νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
unceasingly himself and back turned the-eyes shining
νόσφιν ἐφ᾽ ἱπποπόλων Θρηκῶν καθορώμενος αἶαν
away toward of-the-horse-rearing Thracians looking-upon the-land
Μυσῶν τ᾽ ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν
of-the-Mysians and close-fighting and of-the-lordly Mare-milkers
γλακτοφάγων, Ἀβίων τε δικαιοτάτων ἀνθρώπων.
milk-drinking of-the-Abii and most-just of-men
ἐς Τροίην δ᾽ οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
to Troy and not at-all any-longer he-turned the-eyes shining
οὐ γὰρ ὅ γ᾽ ἀθανάτων τινα ἔλπετο ὃν κατὰ θυμὸν
not for he indeed of-the-immortals any expected his in heart
ἐλθόντ᾽ ἢ Τρώεσσιν ἀρηξέμεν ἢ Δαναοῖσιν.
coming either the-Trojans to-help or the-Danaans

Οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων ἐνοσίχθων·
Nor a-blind-watch kept the-lord the-earth-shaker
καὶ γὰρ ὁ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
and for he marveling sat the-war both battle and
ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
on-high on the-topmost peak of-Samos wooded
Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
the-Thracian thence for appeared all indeed Ida
φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν.
appeared and of-Priam the-city and the-ships of-the-Achaeans
ἔνθ' ἄρ' ὅ γ' ἐξ ἁλὸς ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺς
there then he indeed out-of the-sea sat coming he-pitied and the-Achaeans
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
by-the-Trojans subdued with-Zeus and mightily was-indignant
Αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος
At-once and from the-mountain he-came-down rugged
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
swiftly with-feet striding trembled and the-mountains high and forest
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
the-feet under immortal of-Poseidon going
τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
thrice indeed he-strode going the and fourth he-reached the-goal
Αἰγάς, ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης
Aegae there and for-him famous halls in-the-depths of-the-sea
χρύσεα μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί.
golden gleaming are-built imperishable forever
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
there coming under the-chariot he-yoked bronze-hoofed horses
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε,
swift-flying with-golden manes flowing

χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάσθλην
gold and himself put-on about the-flesh took and the-whip
χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπιβήσετο δίφρου,
golden well-made his-own and he-mounted the-car
βῆ δ' ἐλάαν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
went and to-drive over the-waves gamboled and the-sea-beasts under him
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·
from-everywhere from the-depths nor failed-to-know the-lord
γηθοσύνῃ δὲ θάλασσα διίστατο· τοὶ δὲ πέτοντο
with-joy and the-sea parted they and flew
ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων·
nimbly very nor beneath was-wetted the-bronze axle
τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐΰσκαρθμοι φέρον ἵπποι.
him and to of-the-Achaeans the-ships bounding carried the-horses
Ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,
There-is and a cave wide of-the-deep in-the-depths of-the-sea
μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
between Tenedos and Imbros rugged
ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων
there the-horses stopped Poseidon the-earth-shaker
λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ
loosing from the-chariot beside and ambrosial threw fodder
ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας,
to-eat about and the-feet hobbles he-cast golden
ἀρρήκτους ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
unbreakable unloosable that firm there they-might-stay
νοστήσαντα ἄνακτα· ὁ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.
returning the-lord he and to the-army went of-the-Achaeans

Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες ἠὲ θυέλλῃ
the-Trojans and to-flame equal thronging or to-a-gale
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο,
Hector son-of-Priam insatiably eager followed
ἄβρομοι αὐΐαχοι· ἔλποντο δὲ νῆας Ἀχαιῶν
roaring shouting hoped and the-ships of-the-Achaeans
αἱρήσειν, κτενέειν δὲ παρ᾽ αὐτόθι πάντας ἀρίστους.
to-take to-kill and by there all the-best
ἀλλὰ Ποσειδάων γαιήοχος ἐννοσίγαιος
but Poseidon earth-holder earth-shaker
Ἀργείους ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθών,
the-Argives roused deep out-of the-sea coming
εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν·
likening-himself to-Calchas in-form and untiring voice
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
the-Ajaxes first he-addressed eager even themselves
“Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
Ajaxes you-two indeed — will-save the-host of-the-Achaeans
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
courage remembering nor chilling rout
ἄλλῃ μὲν γὰρ ἔγωγ᾽ οὐ δείδια χεῖρας ἀάπτους
elsewhere indeed for I-indeed not fear the-hands invincible
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ·
of-the-Trojans who the-great wall have-climbed-over in-a-throng
ἔξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
will-hold for all the-well-greaved Achaeans
τῇ δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
here but indeed most-dreadfully I-fear lest anything we-suffer
ᾗ ῥ᾽ ὅ γ᾽ ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
where then he indeed the raging to-flame like leads

Ἕκτωρ, ὃς Διὸς εὖχετ' ἐρισθενέος πάϊς εἶναι.
Hector who of-Zeus boasts mighty the-son to-be
σφῶϊν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν
for-you-two and thus of-the-gods some in minds might-put
αὐτώ θ' ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
yourselves and to-stand mightily and to-urge others
τῶ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
so — even rushing though you-could-check from the-ships
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει."
swift-faring if even him Olympian himself rouses
Ἦ, καὶ σκηπανίῳ γαιήοχος ἐννοσίγαιος
He-spoke and with-his-staff earth-holder earth-shaker
ἀμφοτέρω κεκόπων πλῆσεν μένεος κρατεροῖο,
both striking filled with-might strong
γυῖα δὲ θῆκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
limbs and made light the-feet and hands above
αὐτὸς δ' ὥς τ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι,
himself and as — a-hawk swift-winged rose to-fly
ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περμήκεος ἀρθεὶς
which then — from goat-deserted rock very-high lifted
ὁρμήσῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο,
darts over-the-plain to-chase bird another
ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχθων.
so from them darted Poseidon the-earth-shaker
τοῖιν δ' ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας,
of-the-two and knew first of-Oïleus swift Ajax
αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
quickly and then Ajax addressed Telamonian son
"Αἶαν, ἐπεί τις νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Ajax since some us-two of-the-gods who Olympus hold

μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι,
to-a-seer likening bids by the-ships to-fight
οὐδ' ὅ γε Κάλχας ἐστί, θεοπρόπος οἰωνιστής·
nor he indeed Calchas is the-seer the-augur
ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
the-tracks for behind of-the-feet and of-the-shins
ῥεῖ' ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοί περ·
easily I-knew going-away easily-known and the-gods indeed
καὶ δ' ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισι
and indeed to-me myself the-heart in the-breast dear
μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
more is-eager to-war and to-fight
μαιμώωσι δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθε."
are-eager and below the-feet and the-hands above
Τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
Him and answering addressed Telamonian Ajax
"οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
so now also for-me around the-spear the-hands invincible
μαιμῶσιν, καί μοι μένος ὄρορε, νέρθε δὲ ποσσὶν
are-eager and in-me the-might has-risen below and with-feet
ἔσσυμαι ἀμφοτέροισι· μενοινάω δὲ καὶ οἷος
I-rush both I-yearn and even alone
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι."
with-Hector son-of-Priam insatiably eager to-fight

Poseidon rouses the weary Achaeans, who weep as the Trojans cross the wall. He shames Teucer, Leïtus, Peneleos, and the rest: the Trojans, once like timid deer, now fight at the ships because of Agamemnon's fault. Even so, they must not slacken. The Achaeans form a close wall of shields around the two Ajaxes. Hector charges like a boulder rolling down a mountain until the close ranks stop him. Meriones breaks his spear on Deïphobus' shield and goes back to fetch another.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
χάρμῃ γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ·
in-the-fight rejoicing which in-them the-god cast in-the-heart
τόφρα δὲ τοὺς ὄπιθεν γαιήοχος ὦρσεν Ἀχαιούς,
so-long and those behind the-earth-holder roused the-Achaeans
οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ.
who by the-ships swift were-refreshing dear heart
τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο,
of-them then at-once and with-grievous weariness the-dear limbs were-loosed
καί σφιν ἄχος κατὰ θυμὸν ἐγίγνετο δερκομένοισι
and in-them grief in heart arose looking-on
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
the-Trojans who the-great wall had-climbed-over in-a-throng
τοὺς οἵ γ' εἰσορόωντες ὑπ' ὀφρύσι δάκρυα λεῖβον·
them they indeed looking-at under brows tears shed
οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπὲκ κακοῦ· ἀλλ' ἐνοσίχθων
not for they-thought to-escape out-of evil but the-earth-shaker
ῥεῖα μετεισάμενος κρατερὰς ὄτρυνε φάλαγγας.
easily going-among the-mighty urged battalions

Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων
Teucer to first and Leïtus he-came urging
Πηνέλεών θ' ἥρωα Θόαντά τε Δηΐπυρόν τε
Peneleos and hero Thoas both Deïpyrus and
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Meriones both and Antilochus devisers of-the-war-cry
τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
them he indeed urging words winged addressed
"αἰδώς, Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἔγωγε
shame Argives youths young in-you I-indeed
μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς·
fighting trust to-save the-ships our
εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
if but you from-war will-slack grievous
νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
now indeed appears the-day by the-Trojans to-be-subdued
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
oh for-shame truly great wonder this with-eyes I-see
δεινόν, ὃ οὔ ποτ' ἔγωγε τελευτήσεσθαι ἔφασκον,
dread which not ever I-indeed to-be-accomplished thought
Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας, οἳ τὸ πάρος περ
the-Trojans against our to-come ships who — before indeed
φυζακινῆς ἐλάφοισιν ἐοίκεσαν, αἵ τε καθ' ὕλην
to-panic-stricken deer were-like which — through the-wood
θώων παρδαλίων τε λύκων τ' ἠϊὰ πέλονται
of-jackals of-leopards both of-wolves and prey are
αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ' ἔπι χάρμη·
idly wandering cowardly nor in-them fight

ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
so the-Trojans the before indeed the-might and hands of-the-Achaeans
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἠβαιόν·
to-await not were-willing facing not-even a-little
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται
now but far from-the-city the-hollow by ships they-fight
ἡγεμόνος κακότητι μεθημοσύνῃσί τε λαῶν,
of-the-leader through-the-baseness slackness and of-the-host
οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσι
who with-him quarreling to-defend not are-willing
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς.
the-ships swift-faring but are-slain among them
ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
but if indeed even wholly truly to-blame is
ἥρως Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων,
the-hero son-of-Atreus wide ruling Agamemnon
οὕνεκ' ἀπητίμησε ποδώκεα Πηλεΐωνα,
because he-dishonored the-swift-footed son-of-Peleus
ἡμέας γ' οὔ πως ἔστι μεθιέμεναι πολέμοιο.
us indeed not at-all is-it-possible to-slack from-war
ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκέσταί τοι φρένες ἐσθλῶν.
but let-us-heal sooner healable you-know are-the-minds of-the-brave
ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς
you and no-longer well slack of-furious courage
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν. οὐδ' ἂν ἔγωγε
all best being through the-army not — I-indeed
ἀνδρὶ μαχεσσαίμην ὅς τις πολέμοιο μεθείη
with-a-man would-quarrel who any from-war should-slack
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
wretched being with-you but I-am-angry in heart

ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
O friends soon indeed some evil you-will-make greater
τῇδε μεθημοσύνῃ· ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
by-this slackness but in minds put each
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
shame and indignation indeed for great strife has-arisen
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
Hector indeed by the-ships at-the-war-cry good fights
καρτερός, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα."
strong he-has-broken and the-gates and the-long bar
Ὣς ῥα κελευτιόων γαιήοχος ὦρσεν Ἀχαιούς.
So then urging the-earth-holder roused the-Achaeans
ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
about and then the-Ajaxes two stood battalions
καρτεραί, ἂς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν
mighty which neither — — Ares would-make-light-of coming-among
οὔτε κ' Ἀθηναίη λαοσσόος· οἳ γὰρ ἄριστοι
nor — Athena host-rousing those for best
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
chosen the-Trojans both and Hector noble awaited
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ·
fencing spear with-spear shield with-shield layered
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
shield then shield pressed helmet helmet man and man
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
touched and the-horsehair-crested helmets with-bright crests
νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν·
as-they-nodded so close they-stood by-each-other

ἔγχεα δὲ πτύσσοντο θρασειάων ἀπὸ χειρῶν
spears and were-brandished bold from hands
σειόμεν᾽· οἱ δ᾽ ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι.
brandished they and straight intended were-eager and to-fight
Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ
the-Trojans and struck-forward thronging led and then Hector
ἀντικρὺ μεμαώς, ὀλοοίτροχος ὡς ἀπὸ πέτρης,
straight-on eager a-round-boulder like from a-rock
ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσῃ,
which — down the-crest a-river winter-swollen thrusts
ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης·
breaking with-immense rain of-the-ruthless the-holds rock
ὕψι δ᾽ ἀναθρῴσκων πέτεται, κτυπέει δέ θ᾽ ὑπ᾽ αὐτοῦ
high and bounding it-flies resounds and — under it
ὕλη· ὁ δ᾽ ἀσφαλέως θέει ἔμπεδον, ἦος ἵκηται
the-forest it and steadily runs firm until it-reaches
ἰσόπεδον, τότε δ᾽ οὔ τι κυλίνδεται ἐσσύμενός περ·
the-level then and not at-all rolls rushing though
ὡς Ἕκτωρ ἦος μὲν ἀπείλει μέχρι θαλάσσης
so Hector while indeed threatened as-far-as the-sea
ῥέα διελεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν
easily to-pass-through the-huts and ships of-the-Achaeans
κτείνων· ἀλλ᾽ ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξι
killing but when indeed the-close he-met battalions
στῆ ῥα μάλ᾽ ἐγχριμφθείς· οἱ δ᾽ ἀντίοι υἷες Ἀχαιῶν
stood then very pressed-close they and facing sons of-the-Achaeans
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν
stabbing with-swords both and spears double-pointed
ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη.
thrust from them he and giving-way was-shaken

ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
he-shouted and piercingly to-the-Trojans calling
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
Trojans and Lycians and Dardanians close-fighters
παρμένετ'· οὔ τοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί,
stand-fast not you-know long me will-hold the-Achaeans
καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες,
and very tower-like them selves arraying
ἀλλ', ὀΐω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
but I-think they-will-give-way under the-spear if truly me
ὦρσε θεῶν ὄριστος, ἐρίγδουπος πόσις Ἥρης."
roused of-the-gods the-best loud-thundering husband of-Hera
Ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken he-roused the-might and spirit of-each
Δηΐφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Deïphobus and among them greatly proud strode
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐΐσην,
son-of-Priam before and he-held the-shield on-all-sides balanced
κοῦφα ποσὶ προβιβὰς καὶ ὑπασπίδια προποδίζων.
lightly with-feet striding and under-the-shield stepping-forward
Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Meriones and at-him aimed with-spear shining

καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσ' ἐΐσην
and hit nor missed on the-shield on-all-sides balanced
ταυρείην· τῆς δ' οὔ τι διήλασεν, ἀλλὰ πολὺ πρὶν
of-bull's-hide it and not at-all he-pierced but much before
ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηΐφοβος δὲ
in the-socket broke the-long spear Deïphobus and
ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο, δείσε δὲ θυμῷ
the-shield of-bull's-hide held from himself feared and in-heart
ἔγχος Μηριόναο δαΐφρονος· αὐτὰρ ὅ γ' ἥρως
the-spear of-Meriones wise but he indeed the-hero
ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς
back of-comrades into the-band withdrew was-angered and terribly
ἀμφότερον, νίκης τε καὶ ἔγχεος ὃ ξυνέαξε.
both for-the-victory both and the-spear which he-broke
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
went and to-go along both the-huts and ships of-the-Achaeans
οἰσόμενος δόρυ μακρόν, ὅ οἱ κλισίηφι λέλειπτο.
to-fetch a-spear long which for-him in-the-hut was-left

Teucer kills Imbrius, and Hector kills Amphimachus, Poseidon's grandson. The Ajaxes carry off Imbrius' body like two lions with a goat. Angered, Poseidon takes Thoas' likeness and bids Idomeneus arm and fight. Armed, Idomeneus meets Meriones near his hut.

Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
The and others fought the-cry and unquenchable arose
Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα,
Teucer and first Telamonian a-man killed
Ἴμβριον αἰχμητήν, πολυΐππου Μέντορος υἱόν·
Imbrius spearman of-rich-in-horses Mentor son
ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
he-dwelt and in-Pedaeum before came the-sons of-the-Achaeans
κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεσικάστην·
the-daughter and of-Priam bastard he-had Medesicaste
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
but when of-the-Danaans the-ships came curved
ἂψ ἐς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
back to Ilium he-came was-conspicuous and among-the-Trojans
ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι.
he-dwelt and with Priam he and him honored equally with-his-children
τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῷ
him then the-son of-Telamon below the-ear with-spear long
νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὁ δ' αὖτ' ἔπεσεν μελίη ὥς,
stabbed out and he-drew the-spear he and in-turn fell an-ash like
ἥ τ' ὄρεος κορυφῇ ἕκαθεν περιφαινομένοιο
which — of-a-mountain on-the-peak from-afar seen-around
χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ·
with-bronze cut tender to-the-ground leaves brings

ὣς πέσεν, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
so he-fell around and him clanged the-arms inlaid with-bronze
Τεῦκρος δ' ὁρμήθη μεμαὼς ἀπὸ τεύχεα δῦσαι·
Teucer and rushed eager off the-arms to-strip
Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ.
Hector and at-him-rushing threw with-spear shining
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
but he indeed facing seeing avoided the-bronze spear
τυτθόν· ὁ δ' Ἀμφίμαχον, Κτεάτου υἱ' Ἀκτορίωνος,
narrowly he and Amphimachus of-Cteatus son of-the-son-of-Actor
νισόμενον πόλεμόνδε κατὰ στῆθος βάλε δουρί·
going to-war on the-breast hit with-the-spear
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
he-thudded and falling rang and the-arms upon him
Ἕκτωρ δ' ὁρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
Hector and rushed the-helmet to-the-temples fitted
κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
from-the-head to-snatch of-great-hearted Amphimachus
Αἴας δ' ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῷ
Ajax and at-him-rushing lunged with-spear shining
Ἕκτορος· ἀλλ' οὔ πῃ χροὸς εἵσατο, πᾶς δ' ἄρα χαλκῷ
at-Hector but not anywhere of-the-flesh appeared all and then with-bronze
σμερδαλέῳ κεκάλυφθ'· ὁ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν οὖτα,
terrible he-was-covered he and then of-the-shield the-boss wounded
ὦσε δέ μιν σθένεϊ μεγάλῳ· ὁ δὲ χάσσατ' ὀπίσσω
thrust and him with-strength great he and gave-way backward
νεκρῶν ἀμφοτέρων, τοὺς δ' ἐξείρυσσαν Ἀχαιοί.
from-the-corpses both them and drew-off the-Achaeans
Ἀμφίμαχον μὲν ἄρα Στιχίος δῖός τε Μενεσθεύς,
Amphimachus indeed then Stichius noble and Menestheus

ἀρχοὶ Ἀθηναίων, κόμισαν μετὰ λαὸν Ἀχαιῶν·
leaders of-the-Athenians carried among the-host of-the-Achaeans
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θούριδος ἀλκῆς,
Imbrius in-turn the-Ajaxes eager of-furious courage
ὥς τε δύ' αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
as — two a-goat lions hounds from sharp-toothed
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήϊα πυκνά,
having-snatched carry through the-brushwood thick
ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε,
high above the-earth in jaws holding
ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ
so then him high holding the-two Ajaxes helmeted
τεύχεα συλήτην· κεφαλὴν δ' ἀπαλῆς ἀπὸ δειρῆς
the-arms stripped the-head and tender from neck
κόψεν Ὀϊλιάδης, κεχολωμένος Ἀμφιμάχοιο,
cut-off the-son-of-Oïleus angered for-Amphimachus
ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου·
sent and it like-a-ball whirling through the-throng
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
to-Hector and before feet it-fell in the-dust
Καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
And then indeed in heart Poseidon was-angered
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι,
his-grandson having-fallen in dread combat
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
went and to-go along both the-huts and ships of-the-Achaeans
ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
to-rouse the-Danaans for-the-Trojans and woes he-wrought
Ἰδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν,
Idomeneus and then him spear-famed met

ἐρχόμενος παρ᾽ ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
coming from a-comrade who to-him newly out-of the-war
ἦλθε κατ᾽ ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ.
came in the-hollow-of-the-knee hit with-sharp bronze
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ᾽ ἰητροῖς ἐπιτείλας
him indeed the-comrades carried he and to-the-healers giving-charge
ἤϊεν ἐς κλισίην· ἔτι γὰρ πολέμοιο μενοίνα
was-going to the-hut still for for-war he-yearned
ἀντιάαν· τὸν δὲ προσέφη κρείων ἐνοσίχθων, 215
to-meet him and addressed the-lord the-earth-shaker
εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἱϊ Θόαντι,
likening-himself in-voice of-Andraemon to-the-son Thoas
ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
who over-all Pleuron and steep Calydon
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ᾽ ὡς τίετο δήμῳ·
the-Aetolians ruled a-god and like was-honored by-the-people
“ Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ
Idomeneus of-the-Cretans counselor where your threats
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;” 220
are-gone which at-the-Trojans threatened the-sons of-the-Achaeans

Τὸν δ᾽ αὖτ᾽ Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα·
Him and in-turn Idomeneus of-the-Cretans leader in-reply spoke
“ὦ Θόαν, οὔ τις ἀνὴρ νῦν γ᾽ αἴτιος, ὅσσον ἔγωγε
O Thoas not any man now indeed to-blame as-far-as I-indeed
γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν.
know all for know-how to-fight

οὔτε τινὰ δέος ἴσχει ἀκήριον οὔτε τις ὄκνῳ
neither any fear holds spiritless nor any to-sloth
εἴκων ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτω
yielding shrinks-from war evil but somehow thus
μέλλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι,
it-must indeed pleasing be to-the-over-mighty son-of-Cronus
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
nameless to-perish from Argos here the-Achaeans
ἀλλά, Θόαν, καὶ γὰρ τὸ πάρος μενεδήϊος ἦσθα,
but Thoas and for the before steadfast you-were
ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
you-urge and also another where slacking you-see
τῷ νῦν μήτ' ἀπόληγε κέλευέ τε φωτὶ ἑκάστῳ."
therefore now neither cease urge and man each
Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Him and answered then Poseidon the-earth-shaker
" Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
Idomeneus may-not that man longer return
ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,
from Troy but here of-dogs a-plaything may-be-become
ὅς τις ἐπ' ἤματι τῷδε ἑκὼν μεθίῃσι μάχεσθαι.
who any on day this willingly slacks to-fight
ἀλλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρὴ
but come the-arms here taking go these-things and together we-must
σπεύδειν, αἴ κ' ὄφελός τι γενώμεθα καὶ δύ' ἐόντε.
to-hasten if — help any we-may-be even two being
συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν
combined and valor is of-men even very wretched
νῷϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι."
we-two and even — with-the-brave would-know-how to-fight

Ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν·
So having-spoken he indeed back went the-god into the-toil of-men
Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανε
Idomeneus and when indeed the-hut well-built he-reached
δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε,
put-on the-arms fair about the-flesh took and two-spears
βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
went and to-go to-the-lightning like which — the-son-of-Cronus
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
in-hand taking shakes from gleaming Olympus
δεικνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ οἱ αὐγαί·
showing a-sign to-mortals conspicuous and its rays
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
so of-him bronze shone about the-breast running
Μηριόνης δ' ἄρα οἱ θεράπων ἐὺς ἀντεβόλησεν
Meriones and then him attendant good met
ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ᾔει
near still the-hut after for a-spear bronze he-went
οἰσόμενος· τὸν δὲ προσέφη σθένος Ἰδομενῆος·
to-fetch him and addressed the-might of-Idomeneus
"Μηριόνη, Μόλου υἱέ, πόδας ταχύ, φίλταθ' ἑταίρων,
Meriones of-Molus son in-feet swift dearest of-comrades
τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;
why have-you-come the-war both leaving and combat
ἠέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή,
or some are-you-hit of-the-dart and you distresses the-point
ἦέ τευ ἀγγελίης μετ' ἔμ' ἤλυθες; οὐδέ τοι αὐτὸς
or for-some message after me you-came nor you-know myself
ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι."
to-sit in the-huts I-desire but to-fight

Meriones explains that he has come for a spear, having broken his own on Deïphobus' shield. Idomeneus offers him any of the twenty-one Trojan spears in his hut. Meriones answers that he too has spoils and is no coward. Idomeneus agrees and describes how an ambush reveals the brave and the cowardly. Meriones takes a spear, and the two go out like Ares and his son Rout. They choose the left wing, since the Ajaxes and Teucer can hold the center against Hector.

Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Meriones prudent in-reply spoke

" Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,
Idomeneus of-the-Cretans counselor bronze-coated

ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
I-come if any for-you spear in the-huts is-left

οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
to-fetch(-it) it now for we-have-broken which before I-used-to-hold

ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος."
the-shield of-Deïphobus hitting arrogant

Τὸν δ' αὖτ' Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα·
Him and in-turn Idomeneus of-the-Cretans leader in-reply spoke

"δούρατα δ', αἴ κ' ἐθέλῃσθα, καὶ ἓν καὶ εἴκοσι δήεις
spears and if — you-wish both one and twenty you-will-find

ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα,
standing in the-hut against the-walls all-gleaming

Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι· οὐ γὰρ ὀΐω
Trojan which of-the-slain I-take not for I-think

ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν.
from-men hostile far standing to-fight

τῶ μοι δούρατά τ᾽ ἔστι καὶ ἀσπίδες ὀμφαλόεσσαι,
therefore for-me spears both are and shields bossed
καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανόωντες.᾽᾽
and helmets and corselets brightly shining
Τὸν δ᾽ αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Meriones prudent in-reply spoke
᾽᾽καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
and you-know for-me by both the-hut and the-ship black
πόλλ᾽ ἔναρα Τρώων· ἀλλ᾽ οὐ σχεδόν ἐστιν ἑλέσθαι.
many spoils of-the-Trojans but not near is-it to-take
οὐδὲ γὰρ οὐδ᾽ ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
not-even for not-even me I-say forgetful to-be of-courage
ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
but among the-foremost in-battle in man-glorifying
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
I-stand whenever the-strife has-arisen of-war
ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
another somehow any rather of-the-Achaeans bronze-coated
λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν οἴω.᾽᾽
I-may-escape fighting you but to-know yourself I-think
Τὸν δ᾽ αὖτ᾽ Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα·
Him and in-turn Idomeneus of-the-Cretans leader in-reply spoke
᾽᾽οἶδ᾽ ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
I-know your-valor what-sort you-are why you need these-things to-say
εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
if for now by the-ships were-chosen all the-best
ἐς λόχον, ἔνθα μάλιστ᾽ ἀρετὴ διαείδεται ἀνδρῶν,
for an-ambush where most valor is-discerned of-men
ἔνθ᾽ ὅ τε δειλὸς ἀνὴρ ὅς τ᾽ ἄλκιμος ἐξεφαάνθη·
there the both cowardly man who and valiant is-revealed

τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
of-the indeed for — coward turns the-color one-way another
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός,
nor his still to-sit is-restrained in mind the-heart
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει,
but he-shifts and on both feet sits
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει
in and — his heart greatly in-the-breast pounds
κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίγνετ' ὀδόντων·
fates expecting chattering and — arises of-teeth
τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς οὔτε τι λίην
of-the and brave neither then turns the-color nor at-all overmuch
ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
fears when first he-sits-in the-ambush of-men
ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαΐ λυγρῇ·
prays and soonest to-mingle in battle grim
οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.
not-even — there your indeed might and hands would-find-fault
εἴ περ γάρ κε βλεῖο πονεύμενος ἠὲ τυπείης,
if indeed for — you-were-bit toiling or struck
οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος οὐδ' ἐνὶ νώτῳ,
not — in the-neck behind would-fall the-dart nor in the-back
ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειε
but — either the-breast or the-belly would-meet
πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν.
forward pressing amid of-the-champions the-dalliance

ἀλλ᾽ ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣς
but come no-longer these-things let-us-say children like
ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ·
standing lest somehow any overweeningly resent(-it)
ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλευ ὄβριμον ἔγχος.᾽᾽
but you indeed to-the-hut going take a-mighty spear
Ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
So he-spoke Meriones and to-swift equal Ares
καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος,
quickly from-the-hut took-up a-bronze spear
βῆ δὲ μετ᾽ Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
went and after Idomeneus greatly in-war intent
οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισι,
such-as and man-slaying Ares to-war goes
τῷ δὲ Φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀταρβὴς
him and Rout dear son together strong and fearless
ἕσπετο, ὅς τ᾽ ἐφόβησε ταλάφρονά περ πολεμιστήν·
follows who — routs steadfast though a-warrior
τὼ μὲν ἄρ᾽ ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσσεσθον,
they-two indeed then from Thrace the-Ephyri against arm
ἠὲ μετὰ Φλεγύας μεγαλήτορας· οὐδ᾽ ἄρα τώ γε
or against the-Phlegyans great-hearted nor then they-two indeed
ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
they-heard both to-the-others and glory they-gave
τοῖοι Μηριόνης τε καὶ Ἰδομενεύς, ἀγοὶ ἀνδρῶν,
such Meriones both and Idomeneus leaders of-men
ᾖϊσαν ἐς πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ.
went into war helmeted with-gleaming bronze
τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπε·
him and Meriones first to word said

"Δευκαλίδη, πῇ τ' ἂρ μέμονας καταδῦναι ὅμιλον;
son-of-Deucalion where — then are-you-minded to-enter the-throng
ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
whether on the-right of-the-whole army or among the-middle
ἢ ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτω
or on the-left since not anywhere I-think so
δεύεσθαι πολέμοιο κάρη κομόωντας Ἀχαιούς."
to-be-lacking in-war on-head long-haired Achaeans

Τὸν δ' αὖτ' Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα·
Him and in-turn Idomeneus of-the-Cretans leader in-reply spoke
"νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
the-ships indeed in middle to-defend are also others
Αἴαντές τε δύω Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν
the-Ajaxes both two Teucer and who best of-the-Achaeans
τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·
in-archery good and also in standing fight
οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο,
who him enough will-drive even eager for-war
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν.
Hector son-of-Priam even if very strong he-is
αἰπύ οἱ ἐσσεῖται μάλα περ μεμαῶτι μάχεσθαι
steep for-him it-will-be very though eager to-fight
κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους
their having-conquered might and hands invincible
νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
the-ships to-burn when not himself indeed the-son-of-Cronus
ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν.
should-cast a-blazing brand on-the-ships swift
ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
to-a-man and — not would-yield great Telamonian Ajax

ὅς θνητός τ᾽ εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν,
who mortal — were and ate of-Demeter the-grain
χαλκῷ τε ῥηκτὸς μεγάλοισί τε χερμαδίοισιν.
by-bronze and breakable great and by-stones
οὐδ᾽ ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν
not-even — to-Achilles breaker-of-men would-he-give-way
ἔν γ᾽ αὐτοσταδίῃ· ποσὶ δ᾽ οὔ πως ἔστιν ἐρίζειν. 325
in indeed standing-fight with-feet but not at-all is-it-possible to-vie
νῶϊν δ᾽ ὧδ᾽ ἐπ᾽ ἀριστέρ᾽ ἔχε στρατοῦ, ὄφρα τάχιστα
us-two and thus on the-left hold of-the-army that soonest
εἴδομεν ἠέ τῳ εὖχος ὀρέξομεν, ἦέ τις ἡμῖν.᾽᾽
we-may-see whether to-someone glory we-shall-give or someone to-us
Ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
So he-spoke Meriones and to-swift equal Ares
ἦρχ᾽ ἴμεν, ὄφρ᾽ ἀφίκοντο κατὰ στρατόν, ἦ μιν ἀνώγει.
led to-go until they-reached through the-army where him he-bade

XIII.5 · OTHRYONEUS AND ASIUS

The Trojans attack Idomeneus, and the fight rises like a dust storm. Zeus wills victory for Hector to honor Achilles, while Poseidon, younger than Zeus, rouses the Achaeans in secret. Idomeneus kills Othryoneus, who had come to win Cassandra, and mocks him with an offer of Agamemnon's daughter. He kills Asius, who falls like an oak, and Antilochus kills his charioteer. Deïphobus misses Idomeneus, kills Hypsenor, and boasts that Asius has an escort to Hades.

Οἱ δ᾽ ὡς Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκήν, 330
They and when Idomeneus saw to-flame like in-valor
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισι,
himself and his-squire with arms cunningly-wrought

κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν·
calling-to-one-another through the-throng at him all went
τῶν δ' ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρυμνῇσι νέεσσιν.
of-them and common stood the-strife at the-sterns ships
ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
as and when under shrill winds rush gales
ἤματι τῷ ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
on-day that when — most dust about the-roads
οἵ τ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην,
which — together of-dust a-great raise cloud
ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ
so then of-them together came the-battle were-eager and in heart
ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῷ.
each-other through the-throng to-slay with-sharp bronze
ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
bristled and the-battle man-destroying with-spears
μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδεν
long which they-held flesh-cutting the-eyes and dazzled
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
the-gleam bronze helmets from shining
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
corselets and newly-burnished shields and shining
ἐρχομένων ἄμυδις· μάλα κεν θρασυκάρδιος εἴη
coming together very — stout-hearted would-be
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.
who then would-rejoice seeing the-toil nor would-grieve
Τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
The-two and at-variance minded two of-Cronus sons mighty
ἀνδράσιν ἡρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
for-men heroes were-making pains grievous

Ζεὺς μέν ῥα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
Zeus indeed then for-the-Trojans and for-Hector wished victory
κυδαίνων Ἀχιλῆα πόδας ταχύν· οὐδέ τι πάμπαν
glorifying Achilles in-feet swift nor at-all altogether
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιϊκὸν Ἰλιόθι πρό,
wished the-host to-perish Achaean at-Ilium before
ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον.
but Thetis he-glorified and her-son stout-hearted
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
the-Argives and Poseidon roused going-among
λάθρῃ ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
secretly having-risen-up-from the-gray sea was-vexed for then
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
by-the-Trojans subdued with-Zeus and mightily was-indignant
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,
truly indeed to-both common the-race and one the-fatherland
ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ἤδη.
but Zeus first had-been-born and more knew
τῷ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
therefore then also openly indeed to-help he-shunned
λάθρῃ δ' αἰὲν ἔγειρε κατὰ στρατόν, ἀνδρὶ ἐοικώς.
secretly and always he-roused through the-army to-a-man like
τοὶ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐου πτολέμοιο
they and of-strife mighty and of-impartial war
πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσσαν,
the-rope crossing-over on both strained
ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσεν.
unbreakable both unloosable and which of-many the-knees loosed

Ἔνθα μεσαιπόλιός περ ἐὼν Δαναοῖσι κελεύσας
Then half-gray though being to-the-Danaans calling
Ἰδομενεὺς Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσε.
Idomeneus on-the-Trojans leaping-upon in rout roused
πέφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ἔνδον ἐόντα,
he-slew for Othryoneus from-Cabesus within being
ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει,
who then newly of-war after the-report had-come
ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην,
he-asked and of-Priam of-the-daughters in-form the-best
Κασσάνδρην, ἀνάεδνον, ὑπέσχετο δὲ μέγα ἔργον,
Cassandra without-bride-price he-promised and great work
ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
from Troy unwilling to-thrust-back the-sons of-the-Achaeans
τῷ δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔσχετο καὶ κατένευσε
to-him and the old-man Priam — and promised and nodded-assent
δωσέμεναι· ὁ δὲ μάρναθ' ὑποσχεσίῃσι πιθήσας.
to-give he and fought in-the-promises trusting
Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Idomeneus and at-him aimed with-spear shining
καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἄρκεσε θώρηξ
and hit high striding striking nor availed the-corselet
χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξε.
bronze which he-wore in-the-middle and in belly he-fixed(-it)
δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο φώνησέν τε·
he-thudded and falling he and boasted spoke and
"Ὀθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
Othryoneus beyond indeed you of-mortals I-praise all

εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅσ᾽ ὑπέστης
if truly indeed all you-will-accomplish as-much-as you-promised
Δαρδανίδῃ Πριάμῳ· ὁ δ᾽ ὑπέσχετο θυγατέρα ἣν.
to-the-son-of-Dardanus Priam he and promised daughter his
καί κέ τοι ἡμεῖς ταῦτά γ᾽ ὑποσχόμενοι τελέσαιμεν,
and — to-you we these-things indeed promising would-accomplish
δοῖμεν δ᾽ Ἀτρεΐδαο θυγατρῶν εἶδος ἀρίστην,
would-give and of-the-son-of-Atreus of-the-daughters in-form the-best
Ἄργεος ἐξαγαγόντες, ὀπυιέμεν, εἴ κε σὺν ἄμμιν
from-Argos bringing to-wed if — with us
Ἰλίου ἐκπέρσῃς εὖ ναιόμενον πτολίεθρον.
of-Ilium you-sack well inhabited citadel
ἀλλ᾽ ἕπε᾽, ὄφρ᾽ ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν
but follow that at the-ships we-may-meet seafaring
ἀμφὶ γάμῳ, ἐπεὶ οὔ τοι ἐεδνωταὶ κακοί εἰμεν.”
about the-marriage since not you-know bride-price-takers harsh are-we
Ὣς εἰπὼν ποδὸς ἕλκε κατὰ κρατερὴν ὑσμίνην
So having-spoken by-the-foot dragged through mighty combat
ἥρως Ἰδομενεύς· τῷ δ᾽ Ἄσιος ἦλθ᾽ ἐπαμύντωρ
hero Idomeneus him and Asius came as-defender
πεζὸς πρόσθ᾽ ἵππων· τὼ δὲ πνείοντε κατ᾽ ὤμων
on-foot before the-horses they-two and breathing on shoulders
αἰὲν ἔχ᾽ ἡνίοχος θεράπων· ὁ δὲ ἵετο θυμῷ
always held the-charioteer attendant he and was-eager in-heart
Ἰδομενῆα βαλεῖν· ὁ δέ μιν φθάμενος βάλε δουρὶ
Idomeneus to-hit he and him being-first hit with-the-spear
λαιμὸν ὑπ᾽ ἀνθερεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν.
the-throat below the-chin right-through and bronze drove
ἤριπε δ᾽ ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωΐς,
he-fell and as when some oak falls or a-poplar

ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
or a-pine tall which — on-the-mountains carpenters men
ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
cut with-axes newly-whetted ship-timber to-be
ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
so he before the-horses and chariot lay stretched
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.
roaring the-dust clutching bloody
ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν,
out and of-him the-charioteer was-struck in-wits which before he-had
οὐδ' ὅ γ' ἐτόλμησεν, δηΐων ὑπὸ χεῖρας ἀλύξας,
nor he indeed dared of-the-foes from hands escaping
ἂψ ἵππους στρέψαι, τὸν δ' Ἀντίλοχος μενεχάρμης
back the-horses to-turn him and Antilochus steadfast-in-battle
δουρὶ μέσον περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ
with-spear in-the-middle pierced striking nor availed the-corselet
χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξεν.
bronze which he-wore in-the-middle and in belly he-fixed(-it)
αὐτὰρ ὁ ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου,
but he gasping from-the-well-made fell chariot
ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός,
the-horses and Antilochus of-great-hearted Nestor son
ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
drove-off from-the-Trojans to well-greaved Achaeans
Δηΐφοβος δὲ μάλα σχεδὸν ἦλυθεν Ἰδομενῆος,
Deïphobus and very near came to-Idomeneus
Ἀσίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
for-Asius grieving and threw with-spear shining

ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
but he indeed facing seeing avoided the-bronze spear
Ἰδομενεύς· κρύφθη γὰρ ὑπ᾽ ἀσπίδι πάντοσ᾽ ἐΐσῃ,
Idomeneus he-was-hidden for under the-shield on-all-sides balanced
τὴν ἄρ᾽ ὅ γε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
which then he indeed with-hides of-oxen and with-gleaming bronze
δινωτὴν φορέεσκε, δύω κανόνεσσ᾽ ἀραρυῖαν·
round-wrought bore with-two rods fitted
τῇ ὕπο πᾶς ἐάλη, τὸ δ᾽ ὑπέρπτατο χάλκεον ἔγχος,
it under all he-crouched the and flew-over the-bronze spear
καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν
harshly and for-him the-shield grazing-over rang
ἔγχεος· οὐδ᾽ ἄλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
the-spear nor vain then from-heavy hand he-let-fly
ἀλλ᾽ ἔβαλ᾽ Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
but he-hit son-of-Hippasus Hypsenor shepherd of-the-people
ἦπαρ ὑπὸ πραπίδων, εἶθαρ δ᾽ ὑπὸ γούνατ᾽ ἔλυσε.
the-liver under the-midriff at-once and under knees loosed
Δηΐφοβος δ᾽ ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Deïphobus and terribly boasted loudly shouting
“οὐ μὰν αὖτ᾽ ἄτιτος κεῖτ᾽ Ἄσιος, ἀλλά ἑ φημι
not indeed again unavenged lies Asius but him I-say
εἰς Ἀΐδός περ ἰόντα πυλάρταο κρατεροῖο
to of-Hades though going the-gate-keeper strong
γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.”
will-rejoice in heart since then for-him I-have-given an-escort

Antilochus protects Hypsenor's body while two comrades carry it away. Idomeneus kills Alcathous, Anchises' son-in-law, after Poseidon fixes him like a pillar, and boasts of his descent from Zeus through Minos and Deucalion. Deïphobus goes to Aeneas, who resents Priam for not honoring him, and asks him to defend Alcathous, who raised him. Idomeneus waits like a boar and calls his comrades. Aeneas calls Deïphobus, Paris, and Agenor, and his men follow him like sheep following a ram.

Ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
So he-spoke to-the-Argives and grief arose at-his-boasting
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
for-Antilochus and most wise the-heart it-stirred
ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ ἀμέλησεν ἑταίρου,
but not-even grieving though his-own he-neglected comrade
ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψε.
but running he-bestrode and him the-shield covered
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
him indeed then stooping-under two trusty comrades
Μηκιστεύς, Ἐχίοιο πάϊς, καὶ δῖος Ἀλάστωρ,
Mecisteus of-Echius son and noble Alastor
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα.
the-ships to hollow carried heavily groaning
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα, ἵετο δ' αἰεὶ
Idomeneus and not ceased the-might great he-was-eager and always
ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι,
either some of-the-Trojans with-dark night to-cover
ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
or himself to-thud warding-off ruin from-the-Achaeans
ἔνθ' Αἰσυήταο διοτρεφέος φίλον υἱόν,
then of-Aesyetes Zeus-nurtured dear son

ἥρω᾽ Ἀλκάθοον, γαμβρὸς δ᾽ ἦν Ἀγχίσαο,
hero Alcathous son-in-law and he-was of-Anchises
πρεσβυτάτην δ᾽ ὤπυιε θυγατρῶν, Ἱπποδάμειαν,
the-eldest and he-had-wed of-the-daughters Hippodameia
τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ
whom in heart loved father and queenly mother
ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
in the-hall all for her-age-mates she-excelled
κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσί· τοὔνεκα καί μιν
in-beauty and in-works and in-wits therefore also her
γῆμεν ἀνὴρ ὥριστος ἐνὶ Τροίῃ εὐρείῃ·
married the-man best in Troy wide
τὸν τόθ᾽ ὑπ᾽ Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε
him then under Idomeneus Poseidon subdued
θέλξας ὄσσε φαεινά, πέδησε δὲ φαίδιμα γυῖα·
charming the-eyes shining he-fettered and the-glorious limbs
οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ᾽ οὔτ᾽ ἀλέασθαι,
neither for backward to-flee could-he nor to-avoid(-it)
ἀλλ᾽ ὥς τε στήλην ἢ δένδρεον ὑψιπέτηλον
but as — a-pillar or a-tree high-leaved
ἀτρέμας ἑσταότα στῆθος μέσον οὔτασε δουρὶ
motionless standing the-breast middle wounded with-the-spear
ἥρως Ἰδομενεύς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
hero Idomeneus he-broke and him about the-tunic
χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὀλέθρου·
bronze which for-him before from the-flesh warded-off destruction
δὴ τότε γ᾽ αὖον ἄϋσεν ἐρεικόμενος περὶ δουρί.
indeed then indeed harshly it-rang torn about the-spear
δούπησεν δὲ πεσών, δόρυ δ᾽ ἐν κραδίῃ ἐπεπήγει,
he-thudded and falling the-spear and in the-heart was-fixed

ἥ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιζεν
which then of-him quivering even the-butt shook
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης·
of-the-spear there and then let-go its-might mighty Ares
Ἰδομενεὺς δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Idomeneus and terribly boasted loudly shouting
"Δηΐφοβ', ἦ ἄρα δή τι ἐΐσκομεν ἄξιον εἶναι
Deïphobus truly then indeed at-all do-we-reckon fit to-be
τρεῖς ἑνὸς ἀντὶ πεφάσθαι; ἐπεὶ σύ περ εὔχεαι οὕτω·
three one for slain since you indeed boast so
δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίον ἵστασ' ἐμεῖο,
strange-man but also yourself facing stand me
ὄφρα ἴδῃ οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω,
so-that you-may-see what-sort of-Zeus offspring here I-come
ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον·
who first Minos begot for-Crete a-guardian
Μίνως δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Minos and in-turn begot a-son blameless Deucalion
Δευκαλίων δ' ἐμὲ τίκτε πολέσσ' ἄνδρεσσιν ἄνακτα
Deucalion and me begot for-many men lord
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ' ἐνθάδε νῆες ἔνεικαν
Crete in wide now and here the-ships have-brought
σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσιν."
to-you both evil and to-your-father and to-the-other Trojans
Ὣς φάτο, Δηΐφοβος δὲ διάνδιχα μερμήριξεν,
So he-spoke Deïphobus and two-ways pondered
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
whether some somewhere of-the-Trojans he-should-take-as-comrade great-hearted
ἂψ ἀναχωρήσας, ἦ πειρήσαιτο καὶ οἷος.
back withdrawing or should-try even alone

ὣδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
thus and to-him thinking it-seemed more-profitable to-be
βῆναι ἐπ᾽ Αἰνείαν· τὸν δ᾽ ὕστατον εὗρεν ὁμίλου
to-go to Aeneas him and last he-found of-the-throng
ἑσταότ᾽· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
standing always for with-Priam he-was-angry noble
οὕνεκ᾽ ἄρ᾽ ἐσθλὸν ἐόντα μετ᾽ ἀνδράσιν οὔ τι τίεσκεν.
because then brave being among men not at-all he-honored(-him)
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed
"Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
Aeneas of-the-Trojans counselor now you very must
γαμβρῷ ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδος ἱκάνει.
your-brother-in-law to-defend if indeed any you kinship touches
ἀλλ᾽ ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος γε
but follow Alcathous let-us-defend who you before indeed
γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
brother-in-law being reared halls in small being
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν."
him and for-you Idomeneus spear-famed has-slain
Ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε,
So he-spoke for-him and then the-heart in the-breast he-stirred
βῆ δὲ μετ᾽ Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
went and after Idomeneus greatly in-war intent
ἀλλ᾽ οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς,
but not Idomeneus fear seized a-pampered-child like
ἀλλ᾽ ἔμεν᾽, ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς,
but he-stood as when some boar on-the-mountains in-strength trusting

ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
who — awaits the-tumult coming-on great of-men
χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
a-place in lonely bristles and — the-back above
ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
the-eyes and then his with-fire shine but the-tusks
θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας·
he-whets to-ward-off eager the-hounds and also men
ὣς μένεν Ἰδομενεὺς δουρικλυτός, οὐδ' ὑπεχώρει,
so stood Idomeneus spear-famed nor gave-ground
Αἰνείαν ἐπιόντα βοηθόον· αὖε δ' ἑταίρους,
to-Aeneas coming-on the-helper he-shouted and to-his-comrades
Ἀσκάλαφόν τ' ἐσορῶν Ἀφαρῆά τε Δηΐπυρόν τε
Ascalaphus and looking-at Aphareus both Deïpyrus and
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Meriones both and Antilochus devisers of-the-war-cry
τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
them he indeed urging words winged addressed
"δεῦτε, φίλοι, καί μ' οἴῳ ἀμύνετε· δείδια δ' αἰνῶς
come friends and me alone defend I-fear and terribly
Αἰνείαν ἐπιόντα πόδας ταχύν, ὅς μοι ἔπεισιν,
Aeneas coming-on in-feet swift who me attacks
ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
who very strong is battle in men to-slay
καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον.
and also he-has of-youth the-flower which — strength is greatest
εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐπὶ θυμῷ,
if for of-the-same-age indeed we-were with-this in heart
αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην."
at-once — either he-would-carry great victory or I-would-carry

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες
So he-spoke they and then all one in-minds heart having
πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες.
close stood shields on-shoulders leaning
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισι,
Aeneas and on-the-other-side called his comrades
Δηΐφοβόν τε Πάριν τ' ἐσορῶν καὶ Ἀγήνορα δῖον,
Deïphobus both Paris and looking-at and Agenor noble
οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
who with-him together leaders of-the-Trojans were but then
λαοὶ ἕπονθ', ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
the-host followed as if — after the-ram follow the-sheep
πιόμεν' ἐκ βοτάνης· γάνυται δ' ἄρα τε φρένα ποιμήν·
to-drink from the-pasture rejoices and then — in-heart the-shepherd
ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
so to-Aeneas the-heart in the-breast rejoiced
ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
as he-saw of-the-host the-band following him himself

Over Alcathous, Aeneas and Idomeneus lunge at each other. Aeneas misses. Idomeneus kills Oenomaus, but missiles keep him from the armor, and his legs are too slow to dodge. Deïphobus throws at him, misses, and kills Ascalaphus. His father Ares, kept on Olympus, does not yet know. Meriones wounds Deïphobus, and Polites leads him back to the city. Aeneas kills Aphareus, Antilochus kills Thoön, and Poseidon protects him. Meriones kills Adamas with a spear in the groin, and Helenus kills Deïpyrus.

Οἱ δ' ἀμφ' Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν
They and around Alcathous at-close-quarters rushed
μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς
with-long spears around breasts and bronze
σμερδαλέον κονάβιζε τιτυσκομένων καθ' ὅμιλον
terribly rang aiming through the-throng
ἀλλήλων· δύο δ' ἄνδρες ἀρήϊοι ἔξοχον ἄλλων,
at-each-other two and men warlike beyond others
Αἰνείας τε καὶ Ἰδομενεύς, ἀτάλαντοι Ἄρηϊ,
Aeneas both and Idomeneus equal to-Ares
ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλεῖ χαλκῷ.
were-eager each-other to-cut the-flesh with-pitiless bronze
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
Aeneas and first threw at-Idomeneus
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
but he indeed facing seeing avoided the-bronze spear
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
the-point and of-Aeneas quivering into the-earth
ᾤχετ', ἐπεί ῥ' ἄλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
went since then vain stout from hand it-had-sped

Ἰδομενεὺς δ᾽ ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην,
Idomeneus and then Oenomaus hit the-belly middle
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸς
broke and of-the-corselet the-plate through and the-entrails bronze
ἤφυσ᾽· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
drained he and in the-dust falling clutched the-earth with-the-palm
Ἰδομενεὺς δ᾽ ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
Idomeneus and out-of indeed the-corpse the-long-shadowed spear
ἐσπάσατ᾽, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήσατο τεύχεα καλὰ
drew nor then still the-other could arms fair
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
from-the-shoulders take-off he-was-pressed for by-missiles
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,
not for any-longer firm limbs of-the-feet were for-him-rushing
οὔτ᾽ ἄρ᾽ ἐπαΐξαι μεθ᾽ ἑὸν βέλος οὔτ᾽ ἀλέασθαι.
neither then to-dart after his-own spear nor to-avoid(-one)
τῷ ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ,
therefore then also in standing-fight indeed he-warded-off the-pitiless day
τρέσσαι δ᾽ οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο.
to-flee but no-longer nimbly the-feet carried(-him) from war
τοῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ
him and step-by-step going-away threw with-spear shining
Δηΐφοβος· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.
Deïphobus indeed for at-him he-held a-grudge abiding always
ἀλλ᾽ ὅ γε καὶ τόθ᾽ ἅμαρτεν, ὁ δ᾽ Ἀσκάλαφον βάλε δουρί,
but he indeed also then missed he and Ascalaphus hit with-the-spear
υἱὸν Ἐνυαλίοιο· δι᾽ ὤμου δ᾽ ὄβριμον ἔγχος
the-son of-Enyalius through the-shoulder and the-mighty spear
ἔσχεν· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
held he and in the-dust falling clutched the-earth with-the-palm

οὐδ᾽ ἄρα πώ τι πέπυστο βριήπυος ὄβριμος Ἄρης
nor then yet at-all had-learned loud-voiced mighty Ares
υἱὸς ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ,
of-son of-his-own fallen in mighty combat
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
but he indeed then on-top-of Olympus under golden clouds
ἧστο, Διὸς βουλῇσιν ἐελμένος, ἔνθα περ ἄλλοι
sat by-Zeus' counsels penned where indeed the-other
525 ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο.
immortal gods were kept-back from-war
Οἱ δ᾽ ἀμφ᾽ Ἀσκαλάφῳ αὐτοσχεδὸν ὁρμήθησαν·
They and around Ascalaphus at-close-quarters rushed
Δηΐφοβος μὲν ἀπ᾽ Ἀσκαλάφου πήληκα φαεινὴν
Deïphobus indeed from Ascalaphus the-helmet shining
ἥρπασε, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
snatched Meriones and to-swift equal Ares
δουρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ᾽ ἄρα χειρὸς
with-spear the-arm struck leaping-at out and then from-the-hand
530 αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
the-tubed helmet to-the-ground boomed falling
Μηριόνης δ᾽ ἐξαῦτις ἐπάλμενος αἰγυπιὸς ὥς,
Meriones and again leaping-at a-vulture like
ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος,
drew-out from-the-root of-the-arm the-mighty spear
ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο. τὸν δὲ Πολίτης
back and of-comrades into the-band withdrew him and Polites
αὐτοκασίγνητος, περὶ μέσσῳ χεῖρε τιτήνας,
his-own-brother around the-middle hands stretching

ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ᾽ ἵκεθ᾽ ἵππους
led-out of-war ill-sounding until he-reached the-horses
ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
swift which for-him behind the-battle and war
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ᾽ ἔχοντες·
stood the-charioteer both and the-chariot inlaid holding
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα
who him indeed to the-town carried heavily groaning
τειρόμενον· κατὰ δ᾽ αἷμα νεουτάτου ἔρρεε χειρός.
worn-out down and the-blood from-the-newly-wounded flowed arm
Οἱ δ᾽ ἄλλοι μάρναντο, βοὴ δ᾽ ἄσβεστος ὀρώρει.
The and others fought the-cry and unquenchable arose
ἔνθ᾽ Αἰνέας Ἀφαρῆα Καλητορίδην ἐπορούσας
there Aeneas Aphareus son-of-Caletor leaping-at
λαιμὸν τύψ᾽ ἐπὶ οἱ τετραμμένον ὀξέϊ δουρί·
the-throat struck toward him turned with-sharp spear
ἐκλίνθη δ᾽ ἑτέρωσε κάρη, ἐπὶ δ᾽ ἀσπὶς ἑάφθη
was-bent and to-one-side the-head on and the-shield was-fixed
καὶ κόρυς, ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
and helmet around and him death was-poured spirit-destroying
Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα δοκεύσας
Antilochus and Thoön turned-about watching
οὖτασ᾽ ἐπαΐξας, ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
wounded darting-at off and the-vein all he-cut
ἥ τ᾽ ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν᾽ ἱκάνει·
which — up the-back running right-through to-the-neck reaches
τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ᾽ ὕπτιος ἐν κονίῃσι
it off all he-cut he and on-his-back in the-dust
κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
fell both hands to-his-dear comrades stretching-out

Ἀντίλοχος δ' ἐπόρουσε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων
Antilochus and leapt-at and was-taking the-arms from shoulders
παπταίνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
peering-around the-Trojans and standing-around from-one-side another
οὔταζον σάκος εὐρὺ παναίολον, οὐδὲ δύναντο
wounded the-shield broad all-gleaming nor could
εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέϊ χαλκῷ
within graze the-tender flesh with-pitiless bronze
Ἀντιλόχου· πέρι γάρ ῥα Ποσειδάων ἐνοσίχθων
Antilochus around for then Poseidon the-earth-shaker
Νέστορος υἱὸν ἔρυτο καὶ ἐν πολλοῖσι βέλεσσιν.
of-Nestor the-son guarded even amid many missiles
οὐ μὲν γάρ ποτ' ἄνευ δηΐων ἦν, ἀλλὰ κατ' αὐτοὺς
not indeed for ever without foes was-he but among them
στρωφᾶτ'· οὐδέ οἱ ἔγχος ἔχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεὶ
he-ranged nor his spear held still but very always
σειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ἦσιν
brandished whirled he-aimed and in-mind his-own
ἤ τευ ἀκοντίσσαι, ἠὲ σχεδὸν ὁρμηθῆναι.
either at-someone to-hurl or near to-rush
Ἀλλ' οὐ λῆθ' Ἀδάμαντα τιτυσκόμενος καθ' ὅμιλον,
But not escaped Adamas aiming through the-throng
Ἀσιάδην, ὅ οἱ οὖτα μέσον σάκος ὀξέϊ χαλκῷ
son-of-Asius who him wounded in-the-middle shield with-sharp bronze
ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμὴν
near rushing made-feeble and for-him the-point
κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας.
dark-haired Poseidon his-life begrudging
καὶ τὸ μὲν αὐτοῦ μεῖν' ὥς τε σκῶλος πυρίκαυστος,
and the-one indeed there stayed as — a-stake fire-hardened

ἐν σάκει Ἀντιλόχοιο, τὸ δ' ἥμισυ κεῖτ' ἐπὶ γαίης·
in the-shield of-Antilochus the-other and half lay on the-earth
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων·
back and of-comrades into the-band withdrew doom avoiding
Μηριόνης δ' ἀπιόντα μετασπόμενος βάλε δουρὶ
Meriones and going-away following hit with-the-spear
αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα
the-genitals and between and the-navel where most
γίγνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν.
comes Ares grievous to-wretched mortals
ἔνθα οἱ ἔγχος ἔπηξεν· ὁ δ' ἑσπόμενος περὶ δουρὶ
there him the-spear he-fixed he and following around the-spear
ἤσπαιρ' ὡς ὅτε βοῦς, τόν τ' οὔρεσι βουκόλοι ἄνδρες
writhed as when an-ox which — on-the-mountains herdsmen men
ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν·
with-twisted-ropes not willing by-force binding lead
ὣς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ, οὔ τι μάλα δήν,
so he struck writhed briefly indeed not at-all very long
ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθὼν
until from-him from the-flesh the-spear drew-out near coming
ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσε κάλυψε.
hero Meriones him and darkness the-eyes covered
Δηΐπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Deïpyrus and Helenus with-sword near struck on-the-temple
Θρηϊκίῳ μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.
Thracian great off and the-helmet he-dashed

ἡ μὲν ἀποπλαγχθεῖσα χαμαὶ πέσε, καί τις Ἀχαιῶν
it indeed knocked-away to-the-ground fell and some of-the-Achaeans
μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσε·
fighting among feet rolling carried-off
τὸν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
him and down the-eyes dark night covered

XIII.8 · MENELAUS AND PEISANDER

Menelaus and Helenus attack each other. Helenus' arrow glances off Menelaus' corselet like beans from a winnowing shovel, and Menelaus pierces his bow hand. Peisander attacks Menelaus with an ax, and Menelaus kills him and denounces the Trojans' insolence and their contempt for Zeus, god of guests. Meriones kills Harpalion, whose father follows his body in tears. Paris, angered at the death of his friend, kills Euchenor, who had chosen death in battle over a slow disease.

Ἀτρεΐδην δ᾽ ἄχος εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
the-son-of-Atreus and grief seized at-the-war-cry good Menelaus
βῆ δ᾽ ἐπαπειλήσας Ἑλένῳ ἥρωϊ ἄνακτι,
went and threatening Helenus hero lord
ὀξὺ δόρυ κραδάων· ὁ δὲ τόξου πῆχυν ἄνελκε.
sharp spear brandishing he and of-the-bow the-grip drew-back
τὼ δ᾽ ἄρ᾽ ὁμαρτήδην ὁ μὲν ἔγχεϊ ὀξυόεντι
they-two and then together the-one indeed with-spear sharp
ἵετ᾽ ἀκοντίσσαι, ὁ δ᾽ ἀπὸ νευρῆφιν ὀϊστῷ.
was-eager to-hurl the-other and from the-string with-an-arrow
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
the-son-of-Priam indeed then on the-breast hit with-the-arrow
θώρηκος γύαλον, ἀπὸ δ᾽ ἔπτατο πικρὸς ὀϊστός.
of-the-corselet the-plate off and flew the-bitter arrow

ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωὴν
as and when from a-broad winnowing-shovel a-great over threshing-floor
θρῴσκωσιν κύαμοι μελανόχροες ἢ ἐρέβινθοι,
leap beans dark-skinned or chickpeas
πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ,
the-blast under shrill and of-the-winnower the-swing
ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
so from the-corselet of-Menelaus glorious
πολλὸν ἀποπλαγχθεὶς ἑκὰς ἔπτατο πικρὸς ὀϊστός.
far glancing-off away flew the-bitter arrow
Ἀτρεΐδης δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸς Μενέλαος,
the-son-of-Atreus and then the-hand at-the-war-cry good Menelaus
τὴν βάλεν ᾗ ῥ' ἔχε τόξον ἐΰξοον· ἐν δ' ἄρα τόξῳ
it hit where then he-held the-bow well-polished in and then the-bow
ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
straight through the-hand was-driven the-bronze spear
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
back and of-comrades into the-band withdrew doom avoiding
χεῖρα παρακρεμάσας· τὸ δ' ἐφέλκετο μείλινον ἔγχος.
the-hand letting-hang it and trailed the-ashen spear
καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ,
and it indeed from the-hand drew great-hearted Agenor
αὐτὴν δὲ ξυνέδησεν ἐϋστρεφεῖ οἰὸς ἀώτῳ,
it and bound with-well-twisted of-sheep's wool
σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
with-a-sling which then for-him the-attendant held for-the-shepherd of-the-people
Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο
Peisander and straight for-Menelaus glorious
ἤϊε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε,
went him and led fate evil of-death to-the-end

σοί, Μενέλαε, δαμῆναι ἐν αἰνῇ δηϊοτῆτι.
by-you Menelaus to-be-subdued in dread combat
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
they and when indeed near were against each-other going
Ἀτρεΐδης μὲν ἄμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχος,
the-son-of-Atreus indeed missed aside and him was-turned the-spear
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
Peisander and the-shield of-Menelaus glorious
οὔτασεν, οὐδὲ διαπρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
wounded nor right-through could bronze drive
ἔσχεθε γὰρ σάκος εὐρύ, κατεκλάσθη δ' ἐνὶ καυλῷ
held-it for the-shield broad was-broken and in the-socket
ἔγχος· ὁ δὲ φρεσὶν ἦσι χάρη καὶ ἐέλπετο νίκην.
the-spear he and in-mind his-own rejoiced and hoped-for victory
Ἀτρεΐδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
the-son-of-Atreus and drawing sword silver-studded
ἆλτ' ἐπὶ Πεισάνδρῳ· ὁ δ' ὑπ' ἀσπίδος εἵλετο καλὴν
leapt at Peisander he and under the-shield took fair
ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,
an-ax of-good-bronze olive-wood on a-handle
μακρῷ ἐϋξέστῳ· ἅμα δ' ἀλλήλων ἐφίκοντο.
long well-polished together and each-other reached
ἤτοι ὁ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης
truly the-one indeed of-the-helmet the-crest struck horsehair-plumed
ἄκρον ὑπὸ λόφον αὐτόν, ὁ δὲ προσιόντα μέτωπον
at-the-top under the-plume itself the-other and approaching the-forehead
ῥινὸς ὕπερ πυμάτης· λάκε δ' ὀστέα, τὼ δέ οἱ ὄσσε
the-nose above the-base cracked and the-bones the-two and his eyes
πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον ἐν κονίῃσιν,
by feet bloody to-the-ground fell in the-dust

ἰδνώθη δὲ πεσών· ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων
he-bent and falling he and with-heel on the-breast stepping
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
the-arms and stripped and boasting word spoke
"λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων
you-will-leave surely so indeed the-ships of-the-Danaans with-swift-horses
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς,
Trojans overweening of-dread insatiate war-cry
ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
other indeed of-outrage both and shame not lacking
ἣν ἐμὲ λωβήσασθε, κακαὶ κύνες, οὐδέ τι θυμῷ
which me you-outraged evil dogs nor at-all in-heart
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδείσατε μῆνιν
of-Zeus loud-thundering the-harsh you-feared wrath
ξεινίου, ὅς τέ ποτ' ὔμμι διαφθέρσει πόλιν αἰπήν·
the-god-of-guests who — someday for-you will-destroy the-city steep
οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
who my wedded wife and possessions many
μὰψ οἴχεσθ' ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ' αὐτῇ·
wantonly went-off carrying since you-were-treated-kindly by her
νῦν αὖτ' ἐν νηυσὶν μενεαίνετε ποντοπόροισι
now again at the-ships you-are-eager seafaring
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς.
fire destructive to-cast to-kill and heroes Achaean
ἀλλά ποθι σχήσεσθε καὶ ἐσσύμενοί περ Ἄρηος.
but somewhere you-will-be-checked even eager though for-war
Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων,
Zeus father truly — you they-say beyond in-wits to-be others
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται·
men and gods you and from these-things all come

οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι,
how indeed to-men you-show-favor insolent
Τρωσίν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
to-the-Trojans whose might always reckless nor can-they
φυλόπιδος κορέσασθαι ὁμοιΐου πτολέμοιο.
of-the-battle have-their-fill of-impartial war
πάντων μὲν κόρος ἐστί, καὶ ὕπνου καὶ φιλότητος
of-all indeed satiety is both of-sleep and of-love
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο,
of-song and sweet and of-blameless dance
τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι
of-which indeed one also rather desires out the-desire to-put
ἢ πολέμου· Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.”
than of-war the-Trojans but of-battle insatiate are
Ὣς εἰπὼν τὰ μὲν ἔντε᾽ ἀπὸ χροὸς αἱματόεντα
So having-spoken the indeed arms from the-flesh bloody
συλήσας ἑτάροισι δίδου Μενέλαος ἀμύμων,
stripping to-his-comrades gave Menelaus blameless
αὐτὸς δ᾽ αὖτ᾽ ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη.
himself and in-turn again going with-the-champions mingled
Ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος,
Then at-him the-son leapt of-Pylaemenes king
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίξων
Harpalion who then his-father dear followed to-fight
ἐς Τροίην, οὐδ᾽ αὖτις ἀφίκετο πατρίδα γαῖαν·
to Troy nor back reached his-native land
ὅς ῥα τότ᾽ Ἀτρεΐδαο μέσον σάκος οὔτασε δουρὶ
who then then of-the-son-of-Atreus the-middle shield wounded with-the-spear
ἐγγύθεν, οὐδὲ διαπρὸ δυνήσατο χαλκὸν ἐλάσσαι,
near nor right-through could bronze drive

ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων,
back and of-comrades into the-band withdrew doom avoiding
πάντοσε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύρῃ.
everywhere peering lest any his-flesh with-bronze might-graze
Μηριόνης δ᾽ ἀπιόντος ἴει χαλκήρε᾽ ὀϊστόν,
Meriones and at-him-going-away sent a-bronze-tipped arrow
καί ῥ᾽ ἔβαλε γλουτὸν κάτα δεξιόν· αὐτὰρ ὀϊστὸς
and then hit the-buttock on right but the-arrow
ἀντικρὺ κατὰ κύστιν ὑπ᾽ ὀστέον ἐξεπέρησεν.
straight by the-bladder under the-bone passed-through
ἑζόμενος δὲ κατ᾽ αὖθι φίλων ἐν χερσὶν ἑταίρων
sitting and down there of-dear in arms of-comrades
θυμὸν ἀποπνείων, ὥς τε σκώληξ ἐπὶ γαίῃ
his-life breathing-out as — a-worm on the-earth
κεῖτο ταθείς· ἐκ δ᾽ αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
lay stretched out and blood black flowed wetted and the-earth
τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο,
him indeed the-Paphlagonians great-hearted tended
ἐς δίφρον δ᾽ ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρὴν
into the-chariot and setting carried to Ilium sacred
ἀχνύμενοι· μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων,
grieving among and them the-father went tears shedding
ποινὴ δ᾽ οὔ τις παιδὸς ἐγίγνετο τεθνηῶτος.
blood-price and not any for-the-son was-paid dead
Τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη·
For-him and Paris greatly in-heart slain was-angered
ξεῖνος γάρ οἱ ἔην πολέσιν μετὰ Παφλαγόνεσσι·
a-guest for of-his he-was many among the-Paphlagonians
τοῦ ὅ γε χωόμενος προΐει χαλκήρε᾽ ὀϊστόν.
for-him he indeed angered sent-forth a-bronze-tipped arrow

ἦν δέ τις Εὐχήνωρ, Πολυΐδου μάντιος υἱός,
was and one Euchenor of-Polyidus the-seer son
ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,
rich both good and in-Corinth homes dwelling
ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν ἐπὶ νηὸς ἔβαινε·
who then well knowing the-doom deadly on the-ship boarded
πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος
often for to-him said the-old-man good Polyidus
νούσῳ ὑπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν,
disease under grievous to-perish his in halls
ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
or among of-the-Achaeans the-ships by the-Trojans to-be-subdued
τῶ ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν
therefore then at-once both the-grievous fine he-avoided of-the-Achaeans
νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ.
disease and hateful that not he-might-suffer pains in-heart
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
him he-hit under the-jaw and the-ear quickly and the-spirit
ᾤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
went from the-limbs hateful and then him darkness seized

Hector, unaware that the Achaeans are winning on the left, fights where he breached the wall. The two Ajaxes stand together like oxen at the plow, while the Locrians shoot from behind. Polydamas urges him to call the leaders together and decide whether to fight on or withdraw, since Achilles waits by the ships. Hector agrees.

Ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
So they indeed fought in-the-likeness of-fire blazing
Ἕκτωρ δ' οὐκ ἐπέπυστο Διῒ φίλος, οὐδέ τι ᾔδη
Hector and not had-learned to-Zeus dear nor at-all knew
ὅττι ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηϊόωντο
that then for-him of-the-ships on the-left were-being-slain
λαοὶ ὑπ' Ἀργείων. τάχα δ' ἂν καὶ κῦδος Ἀχαιῶν
the-host by the-Argives soon and — even glory of-the-Achaeans
ἔπλετο· τοῖος γὰρ γαιήοχος ἐννοσίγαιος
would-have-been such for the-earth-holder earth-shaker
ὄτρυν' Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν·
urged the-Argives besides and with-strength himself defended
ἀλλ' ἔχεν ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο,
but he-held where — first the-gates and wall he-had-leapt-into
ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων,
having-broken of-the-Danaans the-close ranks shield-bearing
ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου
there were of-Ajax both the-ships and of-Protesilaus
θῖν' ἔφ' ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθε
the-shore on the-sea gray drawn-up but above
τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα
the-wall was-built lowest where most
ζαχρηεῖς γίγνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι.
fierce were in-battle themselves both and horses

Ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονες ἑλκεχίτωνες,
There and Boeotians and Ionians with-trailing-tunics
Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντες Ἐπειοί,
Locrians and Phthians and glorious Epeans
σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον, οὐδὲ δύναντο
with-effort him-darting from-the-ships held nor could
ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον,
thrust from them to-flame like Hector noble
οἱ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσιν
those indeed of-the-Athenians picked in and then them
ἦρχ' υἱὸς Πετεῶο Μενεσθεύς, οἱ δ' ἅμ' ἕποντο
led the-son of-Peteos Menestheus they and with followed
Φείδας τε Στιχίος τε Βίας τ' ἐΰς· αὐτὰρ Ἐπειῶν
Pheidas both Stichius and Bias and good but of-the-Epeans
Φυλεΐδης τε Μέγης Ἀμφίων τε Δρακίος τε,
son-of-Phyleus and Meges Amphion both Dracius and
πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμός τε Ποδάρκης.
before the-Phthians and Medon both staunch-in-war and Podarces
ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
truly the-one indeed bastard son of-Oïleus godlike
ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
was Medon of-Ajax brother but he-dwelt
ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς,
in Phylace land from his-native a-man having-killed
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
the-kinsman of-his-stepmother Eriopis whom had Oïleus
αὐτὰρ ὁ Ἰφίκλοιο πάϊς τοῦ Φυλακίδαο.
but the-other of-Iphiclus son the son-of-Phylacus

οἱ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες
they indeed before the-Phthians great-hearted armed
ναῦφιν ἀμυνόμενοι μετὰ Βοιωτῶν ἐμάχοντο·
for-the-ships defending among the-Boeotians fought
Αἴας δ' οὐκέτι πάμπαν, Ὀϊλῆος ταχὺς υἱός,
Ajax and no-longer at-all of-Oïleus swift son
ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου οὐδ' ἠβαιόν,
stood from Ajax Telamonian not-even a-little
ἀλλ' ὥς τ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον
but as — in fallow-land oxen-two wine-dark a-jointed plow
ἶσον θυμὸν ἔχοντε τιταίνετον· ἀμφὶ δ' ἄρα σφι
equal spirit having strain about and then them
πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς·
at-the-roots of-the-horns much wells-up sweat
τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει
them indeed — the-yoke alone well-polished apart keeps
ἱεμένω κατὰ ὦλκα· τέμει δέ τε τέλσον ἀρούρης·
straining down the-furrow cuts and — the-end of-the-field
ὣς τὼ παρβεβαῶτε μάλ' ἔστασαν ἀλλήλοιιν.
so they-two standing-beside closely stood by-each-other
ἀλλ' ἤτοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοὶ
but truly the-son-of-Telamon many both and brave
λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο,
host followed comrades who for-him the-shield received
ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ' ἵκοιτο.
whenever him weariness both and sweat to-the-knees came
οὐδ' ἄρ' Ὀϊλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·
nor then the-son-of-Oïleus great-hearted the-Locrians followed
οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ·
not for to-them in-standing fight stayed the-dear heart

οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,
not for they-had helmets bronze-fitted horsehair-plumed
οὐδ' ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα,
nor had shields well-rounded and ashen spears
ἀλλ' ἄρα τόξοισιν καὶ ἐϋστρεφεῖ οἰὸς ἀώτῳ
but then in-bows and well-twisted of-sheep's wool
Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες, οἷσιν ἔπειτα
Ilium to with followed trusting with-which then
ταρφέα βάλλοντες Τρώων ῥήγνυντο φάλαγγας·
thick shooting of-the-Trojans they-broke the-battalions
δή ῥα τόθ' οἱ μὲν πρόσθε σὺν ἔντεσι δαιδαλέοισι
indeed then then they indeed before with arms cunningly-wrought
μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῇ,
fought with-the-Trojans both and with-Hector bronze-helmeted
οἱ δ' ὄπιθεν βάλλοντες ἐλάνθανον· οὐδέ τι χάρμης
they and behind shooting were-unseen nor at-all of-the-fight
Τρῶες μιμνήσκοντο· συνεκλόνεον γὰρ ὀϊστοί.
the-Trojans were-mindful confounded for the-arrows
Ἔνθα κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Then — miserably the-ships from and the-huts
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν,
the-Trojans would-have-withdrawn to Ilium windy
εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
if not Polydamas bold Hector addressed standing-by
"Ἕκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι.
Hector unmanageable you-are persuasions to-obey
οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα,
because to-you beyond gave the-god of-war works
τοὔνεκα καὶ βουλῇ ἐθέλεις περιίδμεναι ἄλλων·
therefore also in-counsel you-wish to-know-more-than others

ἀλλ᾽ οὔ πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
but not at-all together all-things will-you-be-able yourself to-take
ἄλλῳ μὲν γὰρ δῶκε θεὸς πολεμήϊα ἔργα,
to-one indeed for gave the-god of-war works
ἄλλῳ δ᾽ ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν,
to-another and dancing to-another the-lyre and song
ἄλλῳ δ᾽ ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
for-another and in breast puts mind far-seeing Zeus
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ᾽ ἄνθρωποι,
good of-it and — many profit men
καί τε πολέας ἐσάωσε, μάλιστα δὲ καὐτὸς ἀνέγνω.
and — many he-has-saved most and even-himself recognizes(-it)
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
but I will-say as to-me seems to-be best
πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηε·
everywhere for you around the-crown of-war blazes
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
the-Trojans and great-hearted since down the-wall went
οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
some indeed stand-apart with arms others and fight
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
fewer against-more scattered among the-ships
ἀλλ᾽ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
but withdrawing call here all the-best
ἔνθεν δ᾽ ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
thence and — very every we-might-consider counsel
ἤ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσωμεν,
whether — on the-ships many-benched we-should-fall

αἴ κ᾽ ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἦ κεν ἔπειτα
if — will the-god to-give power or — then
πὰρ νηῶν ἔλθωμεν ἀπήμονες. ἦ γὰρ ἔγωγε
from the-ships we-should-come unharmed truly for I-indeed
δείδω μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
I-fear lest the yesterday's should-repay the-Achaeans
χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἅτος πολέμοιο
debt since by the-ships a-man insatiate of-war
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω."
stays whom no-longer at-all from-battle to-be-held I-think
Ὣς φάτο Πουλυδάμας, ἄδε δ᾽ Ἕκτορι μῦθος ἀπήμων,
So spoke Polydamas pleased and Hector the-word safe
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε
at-once and from the-chariot with arms he-leapt to-the-ground
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους,
Polydamas you indeed here hold-back all the-best
αὐτὰρ ἐγὼ κεῖσ᾽ εἶμι καὶ ἀντιόω πολέμοιο·
but I there go and face the-war
αἶψα δ᾽ ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω."
quickly and I-will-come back when well them I-have-instructed

Hector goes to gather the chiefs, but finds Deïphobus, Helenus, Adamas, and Asius dead or wounded. He rebukes Paris, who answers that he has fought all along. The two lead the Trojans into battle like a storm on the sea. Hector advances behind his shield, but cannot break the Achaean ranks. Ajax challenges him and predicts his flight, and an eagle flies on the right. Hector calls him a braggart and says Ajax will die and feed the dogs, and both armies shout as they clash.

Ἦ ῥα, καὶ ὁρμήθη ὄρεϊ νιφόεντι ἐοικώς,
He-spoke then and rushed to-a-mountain snowy like
κεκλήγων, διὰ δὲ Τρώων πέτετ' ἠδ' ἐπικούρων. 755
shouting through and the-Trojans he-flew and the-allies
οἱ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
they and to the-son-of-Panthous courteous Polydamas
πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
all hastened when of-Hector they-heard the-voice
αὐτὰρ ὁ Δηΐφοβόν τε βίην θ' Ἑλένοιο ἄνακτος
but he Deïphobus both the-might and of-Helenus lord
Ἀσιάδην τ' Ἀδάμαντα καὶ Ἄσιον, Ὑρτάκου υἱόν,
son-of-Asius and Adamas and Asius of-Hyrtacus son
φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι. 760
went-to-and-fro among the-champions seeking if anywhere he-might-find
τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους·
them and he-found no-longer altogether unharmed nor unscathed
ἀλλ' οἱ μὲν δὴ νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν
but some indeed truly the-ships by the-sterns of-the-Achaeans
χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες,
hands under of-the-Argives lay their-lives having-lost
οἱ δ' ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε.
others and in the-wall were hit wounded and

τὸν δὲ τάχ᾽ εὗρε μάχης ἐπ᾽ ἀριστερὰ δακρυοέσσης
him and soon he-found of-the-battle on the-left tearful
δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠϋκόμοιο,
noble Alexander of-Helen husband lovely-haired
θαρσύνονθ᾽ ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι,
cheering his-comrades and urging to-fight
ἀγχοῦ δ᾽ ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι·
near and standing he-addressed with-shameful words
"Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά,
evil-Paris in-looks best woman-mad seducer
ποῦ τοι Δηΐφοβός τε βίη θ᾽ Ἑλένοιο ἄνακτος
where your Deïphobus both the-might and of-Helenus lord
Ἀσιάδης τ᾽ Ἀδάμας ἠδ᾽ Ἄσιος, Ὑρτάκου υἱός;
son-of-Asius and Adamas and Asius of-Hyrtacus son
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ᾽ ἄκρης
where and your Othryoneus now has-perished all from top
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος."
Ilium steep now for-you sure sheer destruction
Τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Him and in-turn addressed Alexander godlike
" Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,
Hector since your heart the-blameless to-blame
ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
at-other-times indeed ever rather to-hold-back from-war
μέλλω, ἐπεὶ οὐδ᾽ ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ·
I-might since not-even me altogether unwarlike bore my-mother
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
from when for by the-ships the-battle you-roused of-the-comrades

ἐκ τοῦ δ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι
from then and here being we-consort with-the-Danaans
νωλεμέως· ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς.
unceasingly the-comrades and have-been-slain whom you ask-about
οἵω Δηΐφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
alone Deïphobus both the-might and of-Helenus lord
οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσιν
have-gone-off with-long struck-both spears
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
both in the-hand death and warded-off the-son-of-Cronus
νῦν δ' ἄρχ', ὅππῃ σε κραδίη θυμός τε κελεύει·
now but lead wherever you heart spirit and bids
ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
we and eager with will-follow nor at-all I-say
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι.
of-courage to-be-lacking as-much-as strength indeed is-present
πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν."
beyond strength and not is-it-possible even eager to-fight
Ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως·
So having-spoken persuaded of-his-brother the-mind the-hero
βὰν δ' ἴμεν ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν
they-went and to-go where most battle and strife was
ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πουλυδάμαντα,
about both Cebriones and blameless Polydamas
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Phalces Orthaeus both and godlike Polyphetes
Πάλμυν τ' Ἀσκάνιόν τε Μόρυν θ', υἷ' Ἱπποτίωνος,
Palmys both Ascanius and Morys and son of-Hippotion

οἵ ῥ᾽ ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
who then from Ascania deep-soiled had-come in-relief
ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
at-dawn the former then and Zeus roused-them to-fight
οἱ δ᾽ ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
they and went of-grievous winds equal to-the-blast
ἥ ῥά θ᾽ ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,
which then — under the-thunder of-father Zeus goes to-the-plain
θεσπεσίῳ δ᾽ ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
with-wondrous and uproar with-the-sea mingles in and — many
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης,
waves seething of-the-loud-roaring sea
κυρτὰ φαληριόωντα, πρὸ μέν τ᾽ ἄλλ᾽, αὐτὰρ ἐπ᾽ ἄλλα·
arched white-crested before indeed — some but behind others
ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ᾽ ἄλλοι,
so the-Trojans before indeed some arrayed but behind others
χαλκῷ μαρμαίροντες ἅμ᾽ ἡγεμόνεσσιν ἕποντο.
with-bronze gleaming with the-leaders followed
Ἕκτωρ δ᾽ ἡγεῖτο, βροτολοιγῷ ἶσος Ἄρηϊ,
Hector and led to-man-slaying equal Ares
Πριαμίδης· πρόσθεν δ᾽ ἔχεν ἀσπίδα πάντοσ᾽ ἐΐσην,
son-of-Priam before and he-held the-shield on-all-sides balanced
ῥινοῖσιν πυκινήν, πολλὸς δ᾽ ἐπελήλατο χαλκός·
with-hides close much and was-beaten-on bronze
ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.
around and his the-temples the-shining shook helmet
πάντῃ δ᾽ ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων,
everywhere and around the-battalions he-tried stepping-forward
εἴ πώς οἱ εἴξειαν ὑπασπίδια προβιβῶντι·
if somehow to-him they-would-yield under-the-shield advancing

ἀλλ᾽ οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
but not he-confounded the-heart in the-breast of-the-Achaeans
Αἴας δὲ πρῶτος προκαλέσσατο, μακρὰ βιβάσθων·
Ajax and first challenged with-long striding
"δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι αὔτως
strange-man near come why do-you-frighten idly
Ἀργείους; οὔ τοί τι μάχης ἀδαήμονές εἰμεν,
the-Argives not you-know at-all of-battle ignorant are-we
ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
but by-Zeus' lash evil were-subdued the-Achaeans
ἦ ἦν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
truly surely perhaps your heart hopes to-sack
νῆας· ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.
the-ships at-once and — hands to-defend are also for-us
ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμὴ
truly — much-sooner would-be-first well inhabited city your
χερσὶν ὑφ᾽ ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.
hands under our captured both sacked and
σοὶ δ᾽ αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
to-you and yourself I-say near to-be when fleeing
ἀρήσῃ Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι
you-will-pray to-Zeus father and the-other immortals
θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους,
swifter than-hawks to-be the-fair-maned horses
οἵ σε πόλινδ᾽ οἴσουσι κονίοντες πεδίοιο."
which you to-the-city will-carry raising-dust over-the-plain

Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
So then to-him having-spoken flew-by on-the-right a-bird
αἰετὸς ὑψιπέτης· ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν
an-eagle high-flying on and shouted the-host of-the-Achaeans
θάρσυνος οἰωνῷ· ὁ δ' ἀμείβετο φαίδιμος Ἕκτωρ·
encouraged by-the-omen he and answered glorious Hector
"Αἶαν ἀμαρτοεπές, βουγάϊε, ποῖον ἔειπες·
Ajax erring-in-speech braggart what-sort-of-thing you-said
εἰ γὰρ ἐγὼν οὕτω γε Διὸς πάϊς αἰγιόχοιο
if-only for I so indeed of-Zeus son aegis-bearing
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
were days all bore and me queenly Hera
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
I-were-honored and as is-honored Athena and Apollo
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
as now day this evil brings to-the-Argives
πᾶσι μάλ', ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσῃς
all wholly among and you them will-be-slain if — you-dare
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα
to-await my spear long which your flesh lily-white
δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς
will-rend but of-the-Trojans you-will-glut the-dogs and birds
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν."
with-fat and flesh falling by the-ships of-the-Achaeans
Ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο
So then having-spoken he-led they and with followed
ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν.
with-a-din wondrous on and shouted the-host behind

Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδὲ λάθοντο 835
the-Argives and on-the-other-side shouted-back nor forgot
ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
courage but awaited of-the-Trojans the-coming best
ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.
the-din and of-both reached the-upper-air and of-Zeus the-rays

BOOK XIV

XIV.1 · THE WOUNDED KINGS

Nestor is drinking with Machaon when he hears the din, and goes out to look. Seeing the wall down and the Achaeans routed, he wavers like a swelling sea, then goes to find Agamemnon. He meets the wounded kings, Agamemnon, Diomedes, and Odysseus, coming up from the ships. Agamemnon fears that Hector's threat will be fulfilled and the Achaeans have turned against him as Achilles has. When Nestor says the wall has fallen, Agamemnon proposes launching the nearest ships and fleeing at night.

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης,
Nestor and not escaped the-clamor drinking though nevertheless
ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
but the-son-of-Asclepius words winged addressed
"φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
consider noble Machaon how will-be these deeds
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
greater indeed by the-ships the-cry of-lusty young-men
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
but you indeed now drink sitting sparkling wine
εἰς ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
until the-time — warm baths fair-tressed Hecamede
θερμήνῃ καὶ λούσῃ ἄπο βρότον αἱματόεντα·
heats and washes from the-gore bloody
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν."
but I going quickly will-learn to a-lookout
Ὣς εἰπὼν σάκος εἷλε τετυγμένον υἷος ἑοῖο,
So having-spoken the-shield he-took well-wrought of-son his-own
κείμενον ἐν κλισίῃ, Θρασυμήδεος ἱπποδάμοιο,
lying in the-hut of-Thrasymedes horse-taming

χαλκῷ παμφαῖνον· ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.
with-bronze all-gleaming he and had the-shield of-father his-own
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
he-took and valiant spear sharpened with-sharp bronze
στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικές,
stood and outside the-hut quickly and he-saw a-deed shameful
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθε,
those indeed thrown-into-confusion the-others and routing behind
Τρῶας ὑπερθύμους· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν.
the-Trojans high-spirited was-thrown-down and the-wall of-the-Achaeans
ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ
as and when darkens the-sea great with-a-wave silent
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
foreboding of-shrill winds the-swift paths
αὔτως, οὐδ' ἄρα τε προκυλίνδεται οὐδετέρωσε,
idly nor then — rolls-forward to-either-side
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον,
until some decided to-come-down from Zeus wind
ὣς ὁ γέρων ὥρμαινε δαϊζόμενος κατὰ θυμὸν
so the old-man pondered divided in heart
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,
two-ways whether into the-throng he-should-go of-the-Danaans with-swift-horses
ἦε μετ' Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
or to the-son-of-Atreus Agamemnon shepherd of-the-people
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
thus and to-him thinking it-seemed more-profitable to-be

βῆναι ἐπ᾽ Ἀτρεΐδην. οἱ δ᾽ ἀλλήλους ἐνάριζον
to-go to the-son-of-Atreus they and each-other slew
μαρνάμενοι· λάκε δέ σφι περὶ χροΐ χαλκὸς ἀτειρὴς
fighting rang and on-them about the-flesh bronze unwearying
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
stabbed with-swords both and spears double-pointed
Νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες
Nestor and met Zeus-nurtured kings
πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῷ,
from the-ships coming-up as-many-as were-wounded with-bronze
Τυδεΐδης Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Ἀγαμέμνων.
the-son-of-Tydeus Odysseus both and the-son-of-Atreus Agamemnon
πολλὸν γάρ ῥ᾽ ἀπάνευθε μάχης εἰρύατο νῆες
far for then apart from-the-battle were-drawn-up the-ships
θῖν᾽ ἔφ᾽ ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίονδε
the-shore on the-sea gray them for first to-the-plain
εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
they-drew but the-wall by the-sterns they-built
οὐδὲ γὰρ οὐδ᾽ εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
not-even for not-even broad though being could all
αἰγιαλὸς νῆας χαδέειν, στείνοντο δὲ λαοί·
the-beach the-ships hold were-cramped and the-host
τῷ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἀπάσης
therefore then in-rows they-drew and filled of-all
ἠϊόνος στόμα μακρόν, ὅσον συνέεργαθον ἄκραι.
the-shore the-mouth long as-much-as enclosed the-headlands

τῶ ῥ᾽ οἵ γ᾽ ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο
therefore then they indeed wishing-to-see the-war-cry and war
ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι· ἄχνυτο δέ σφι
on-spear leaning went in-a-body was-grieved and their
θυμὸς ἐνὶ στήθεσσιν. ὁ δὲ ξύμβλητο γεραιός,
heart in breast he and met the-old-man
Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Nestor made-cower and the-heart in breast of-the-Achaeans
τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
him also having-spoken addressed lord Agamemnon
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
O Nestor son-of-Neleus great glory of-the-Achaeans
τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ᾽ ἀφικάνεις;
why leaving war man-destroying here do-you-come
δείδω μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ,
I-fear lest indeed for-me fulfill the-word mighty Hector
ὥς ποτ᾽ ἐπηπείλησεν ἐνὶ Τρώεσσ᾽ ἀγορεύων,
as once he-threatened among the-Trojans speaking
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
not before from the-ships to Ilium to-return
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
before with-fire the-ships to-burn to-kill and even ourselves
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
he so spoke these-things indeed now all are-being-fulfilled
ὦ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
oh for-shame truly then also others well-greaved Achaeans
ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥς περ Ἀχιλλεύς,
in heart lay-up against-me anger as indeed Achilles
οὐδ᾽ ἐθέλουσι μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσι."
nor wish to-fight at the-sterns ships

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
"ἦ δὴ ταῦτά γ' ἐτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
truly indeed these-things indeed ready are-wrought nor — otherwise
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
Zeus thundering-on-high himself could-fashion
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν
the-wall indeed for indeed has-fallen in-which we-trusted
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
unbreakable of-the-ships both and ourselves a-defense to-be
οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
they and at the-ships swift battle incessant hold
νωλεμές· οὐδ' ἂν ἔτι γνοίης μάλα περ σκοπιάζων
unceasingly nor — still could-you-tell very though looking-out
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται,
from-which-side the-Achaeans thrown-into-confusion are-routed
ὡς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει.
so pell-mell they-are-slain the-cry and heaven reaches
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα,
we and let-us-consider how will-be these deeds
εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω
if any mind will-accomplish war but not us I-bid
δύμεναι· οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι."
to-enter not for at-all wounded is-it to-fight
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Him and in-turn addressed lord of-men Agamemnon
"Νέστορ, ἐπεὶ δὴ νηυσὶν ἔπι πρύμνῃσι μάχονται,
Nestor since indeed the-ships by the-sterns they-fight
τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
the-wall and not availed built nor at-all the-ditch

ᾗ ἔπι πολλὰ πάθον Δαναοί, ἔλποντο δὲ θυμῷ
which over much suffered the-Danaans hoped and in-heart
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
unbreakable of-the-ships both and ourselves a-defense to-be
οὕτω που Διὶ μέλλει ὑπερμενεῖ φίλον εἶναι,
so surely to-Zeus it-must over-mighty pleasing to-be
νωνύμνους ἀπολέσθαι ἀπ᾽ Ἄργεος ἐνθάδ᾽ Ἀχαιούς.
nameless to-perish from Argos here the-Achaeans
ᾔδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν,
I-knew indeed for when readily the-Danaans he-helped
οἶδα δὲ νῦν ὅτε τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι
I-know and now when them indeed equally to-the-blessed gods
κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
he-glorifies our and might and hands has-bound
ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
but come as — I say let-us-obey all
νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
the-ships as-many-as first are-drawn-up near the-sea
ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν,
let-us-drag all and let-us-draw into the-sea bright
ὕψι δ᾽ ἐπ᾽ εὐνάων ὁρμίσσομεν, εἰς ὅ κεν ἔλθῃ
high and on mooring-stones let-us-moor until the-time — comes
νὺξ ἀβρότη, ἣν καὶ τῇ ἀπόσχωνται πολέμοιο
night immortal if even by-it hold-off from-war
Τρῶες· ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
the-Trojans then and — we-might-draw-down the-ships all
οὐ γάρ τις νέμεσις φυγέειν κακόν, οὐδ᾽ ἀνὰ νύκτα.
not for any blame to-flee evil not-even by night
βέλτερον ὃς φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ."
better who fleeing escapes evil than is-caught

Odysseus rebukes Agamemnon: the army would lose heart if it saw the ships launched. Agamemnon yields. Diomedes, the youngest, proposes that the wounded kings go to the front and urge on the others without fighting. The kings go, and Poseidon, as an old man, encourages Agamemnon and shouts like ten thousand men. Hera sees Poseidon at work and Zeus on Ida and plans to seduce Zeus. In her chamber she bathes, anoints herself, and dresses, then calls Aphrodite.

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Him and then from-under looking addressed resourceful Odysseus
"Ἀτρεΐδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων·
son-of-Atreus what-sort-of you word escaped the-fence of-the-teeth
οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
ruinous would-that you-ought of-an-unseemly army another
σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν, οἷσιν ἄρα Ζεὺς
to-command nor us to-rule to-whom then Zeus
ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
from youth has-given and to old-age to-wind-up
ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.
grievous wars until we-perish each
οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
so indeed are-you-minded of-the-Trojans the-city wide-streeted
καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
to-abandon which for we-suffer evils many
σίγα, μή τίς τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ
silence lest any — other of-the-Achaeans this hear
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
word which not — a-man indeed through mouth at-all would-bring

ὅς τις ἐπίσταιτο ἧσι φρεσὶν ἄρτια βάζειν
who any knew in-his wits fitting-things to-speak
σκηπτοῦχός τ᾽ εἴη, καί οἱ πειθοίατο λαοὶ
sceptered and were and him obeyed hosts
τοσσοίδ᾽ ὅσσοισιν σὺ μετ᾽ Ἀργείοισιν ἀνάσσεις·
so-many as-many-as you among the-Argives rule
νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·
now and of-you I-fault altogether the-wits such-a-thing you-said
ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀϋτῆς
who bid the-war joined and the-war-cry
νῆας ἐϋσσέλμους ἅλαδ᾽ ἑλκέμεν, ὄφρ᾽ ἔτι μᾶλλον
the-ships well-benched to-the-sea to-drag that still more
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπης,
for-the-Trojans indeed prayed-for it-may-be prevailing though nevertheless
ἡμῖν δ᾽ αἰπὺς ὄλεθρος ἐπιρρέπῃ. οὐ γὰρ Ἀχαιοὶ
for-us and sheer destruction may-weigh-down not for the-Achaeans
σχήσουσιν πόλεμον νηῶν ἅλαδ᾽ ἑλκομενάων,
will-hold the-war the-ships to-the-sea dragged
ἀλλ᾽ ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
but will-look-away will-slacken and from-the-fight
ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν."
there — your counsel will-do-harm leader of-the-people
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Him and answered then lord of-men Agamemnon
"ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
O Odysseus very somehow me you-touched the-heart with-a-rebuke
ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
grievous but not indeed I unwilling bid
νῆας ἐϋσσέλμους ἅλαδ᾽ ἑλκέμεν υἷας Ἀχαιῶν.
the-ships well-benched to-the-sea to-drag the-sons of-the-Achaeans

νῦν δ' εἴη ὅς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
now and may-there-be one-who than-this indeed better counsel might-tell
ἢ νέος ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη."
either young or old to-me and — glad it-would-be
Τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Them and also spoke-among at-the-war-cry good Diomedes
"ἐγγὺς ἀνήρ, οὐ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλητε
near the-man not long shall-we-seek if — you-are-willing
πείθεσθαι, καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος
to-obey and not at-all in-anger be-indignant each
οὕνεκα δὴ γενεῇφι νεώτατός εἰμι μεθ' ὑμῖν·
because indeed in-birth youngest I-am among you
πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι,
of-a-father and from brave also I by-birth claim to-be
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα καλύπτει.
of-Tydeus whom in-Thebes heaped over earth covers
Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
to-Portheus for three sons blameless were-born
οἴκεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
they-dwelt and in Pleuron and steep Calydon
Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεύς,
Agrius and Melas third and was horseman Oeneus
πατρὸς ἐμοῖο πατήρ· ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
of-father my father in-valor and he-was pre-eminent of-them
ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη
but he indeed there stayed father and my in-Argos settled
πλαγχθείς· ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
having-wandered so for surely Zeus wished and gods other

Ἀδρήστοιο δ᾽ ἔγημε θυγατρῶν, ναίε δὲ δῶμα
of-Adrastus and he-married of-the-daughters he-dwelt and in-a-house
ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
rich in-livelihood enough and for-him were plowlands
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς,
wheat-bearing many and of-trees were orchards around
πολλὰ δέ οἱ πρόβατ᾽ ἔσκε· κέκαστο δὲ πάντας Ἀχαιοὺς
many and his flocks were he-excelled and all the-Achaeans
ἐγχείῃ· τὰ δὲ μέλλετ᾽ ἀκουέμεν, εἰ ἐτεόν περ.
with-the-spear these-things and you-must have-heard if truly indeed
τῶ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες
therefore not — me by-birth indeed base and unwarlike saying
μῦθον ἀτιμήσαιτε πεφασμένον, ὅν κ᾽ ἐὺ εἴπω.
the-word would-you-dishonor spoken which — well I-say
δεῦτ᾽ ἴομεν πόλεμόνδε καὶ οὐτάμενοί περ ἀνάγκῃ.
come let-us-go to-war even wounded though by-necessity
ἔνθα δ᾽ ἔπειτ᾽ αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος
there and then ourselves indeed let-us-keep-from the-combat
ἐκ βελέων, μή πού τις ἐφ᾽ ἕλκεϊ ἕλκος ἄρηται·
out-of the-missiles lest somehow any on wound a-wound take
ἄλλους δ᾽ ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
others and urging we-will-send-in who — before indeed
θυμῷ ἧρα φέροντες ἀφεστᾶσ᾽ οὐδὲ μάχονται.”
to-their-heart pleasure bringing stand-apart nor fight
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο·
So he-spoke they and then him very indeed heard and obeyed
βὰν δ᾽ ἴμεν, ἦρχε δ᾽ ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
they-went and to-go led and then them lord of-men Agamemnon

Οὐδ' ἀλαοσκοπιὴν εἶχε κλυτὸς ἐννοσίγαιος,
Nor a-blind-watch kept the-famous earth-shaker
ἀλλὰ μετ' αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ἐοικώς,
but among them came to-an-old man like
δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρεΐδαο,
the-right and took hand of-Agamemnon son-of-Atreus
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Ἀτρεΐδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
son-of-Atreus now indeed surely of-Achilles deadly heart
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
rejoices in breast the-slaughter and rout of-the-Achaeans
δερκομένῳ, ἐπεὶ οὔ οἱ ἔνι φρένες, οὐδ' ἠβαιαί.
seeing since not in-him are wits not-even small
ἀλλ' ὅ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ έ σιφλώσειε·
but he indeed so may-perish a-god and him maim
σοὶ δ' οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
with-you but not yet very altogether the-gods blessed are-angry
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
but yet surely of-the-Trojans leaders and rulers
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς
the-wide will-raise-dust the-plain you and will-behold yourself
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
fleeing to the-town the-ships from and the-huts
Ὣς εἰπὼν μέγ' ἄϋσεν, ἐπεσσύμενος πεδίοιο.
So having-spoken greatly he-shouted rushing over-the-plain
ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
as-loud-as — nine-thousand shout or ten-thousand
ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος,
men in war the-strife joining of-Ares

τόσσην ἐκ στήθεσφιν ὄπα κρείων ἐνοσίχθων
so-great from breast a-voice the-lord the-earth-shaker
ἧκεν· Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
sent to-the-Achaeans and great strength he-cast-in each
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
in-the-heart without-ceasing to-war and to-fight
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι
Hera and looked-on golden-throned with-eyes
στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω
standing from Olympus from the-peak at-once and she-knew
τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν
him indeed bustling the-battle through man-glorifying
αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·
her-own-brother and brother-in-law she-rejoiced and in-heart
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
Zeus and on the-topmost peak of-many-fountained Ida
ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
sitting she-saw hateful and to-her he-was in-heart
μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη
pondered and then ox-eyed queenly Hera
ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο·
how she-might-beguile of-Zeus the-mind aegis-bearing
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
this and to-her in heart best seemed counsel
ἐλθεῖν εἰς Ἴδην εὖ ἐντύνασαν ἓ αὐτήν,
to-go to Ida well adorning her self

εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
if somehow he-might-desire to-lie-beside in-love
ᾗ χροιῇ, τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε
her flesh to-him and sleep painless both warm and
χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι.
she-might-pour on the-eyelids and the-wits shrewd
βῇ δ' ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
went and to-go to the-chamber which for-her her-dear son built
Ἥφαιστος, πυκιναὶς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
Hephaestus close and the-doors to-the-posts fitted
κληῖδι κρυπτῇ, τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν·
with-a-bolt secret it and not god other opened
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
there she indeed entering the-doors closed shining
ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
with-ambrosia indeed first from the-flesh lovely
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ
the-stains all she-cleansed anointed-herself and richly with-oil
ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
ambrosial sweet which then for-her perfumed was
τοῦ καὶ κινυμένοιο Διὸς κατὰ χαλκοβατὲς δῶ
of-which even stirred of-Zeus through the-bronze-floored house
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.
nevertheless to earth both and heaven reached the-fragrance
τῷ ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη ἰδὲ χαίτας
with-this then she indeed the-flesh fair anointing and the-hair
πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινοὺς
combing with-hands the-locks plaited shining
καλοὺς ἀμβροσίους ἐκ κράατος ἀθανάτοιο.
fair ambrosial from the-head immortal

ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόσιον ἑανὸν ἕσαθ᾽, ὅν οἱ Ἀθήνη
around and then ambrosial a-robe she-put-on which for-her Athena
ἔξυσ᾽ ἀσκήσασα, τίθει δ᾽ ἐνὶ δαίδαλα πολλά·
smoothed working put and in embroideries many
χρυσείῃς δ᾽ ἐνετῇσι κατὰ στῆθος περονᾶτο.
with-golden and brooches over the-breast she-pinned(-it)
ζώσατο δὲ ζώνῃ ἑκατὸν θυσάνοις ἀραρυίῃ,
girded-herself and with-a-girdle with-a-hundred tassels fitted
ἐν δ᾽ ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι
in and then earrings she-put in-well-pierced lobes
τρίγληνα μορόεντα· χάρις δ᾽ ἀπελάμπετο πολλή.
three-drop mulberry-like grace and shone much
κρηδέμνῳ δ᾽ ἐφύπερθε καλύψατο δῖα θεάων
with-a-veil and over covered-herself bright of-goddesses
καλῷ νηγατέῳ· λευκὸν δ᾽ ἦν ἠέλιος ὥς·
fair new-made white and it-was the-sun like
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
the-feet and under shining she-bound fair sandals
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ θήκατο κόσμον,
but when indeed all about the-flesh she-had-put the-adornment
βῆ ῥ᾽ ἴμεν ἐκ θαλάμοιο, καλεσσαμένη δ᾽ Ἀφροδίτην
went then to-go from the-chamber calling and Aphrodite
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸς μῦθον ἔειπε·
of-the others apart of-the-gods to speech said
“ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττι κεν εἴπω,
truly then now me at-all would-you-obey dear child whatever — I-say
ἦέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῷ,
or — would-you-refuse being-angry at-this indeed in-heart
οὕνεκ᾽ ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;”
because I the-Danaans you but the-Trojans help

Hera asks Aphrodite for love and desire, saying she will reconcile Oceanus and Tethys. Aphrodite gives her the embroidered band that holds every charm. Hera flies to Lemnos and asks Sleep to close Zeus's eyes, promising a golden throne. Sleep refuses: once before, when he lulled Zeus so that Hera could drive Heracles to Cos, Zeus would have hurled him from heaven if Night had not saved him.

Τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Her and answered then of-Zeus daughter Aphrodite
"Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
Hera revered goddess daughter of-great Cronus
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
say what any you-intend to-accomplish(-it) and me the-heart bids
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν."
if I-can accomplish(-it) indeed and if accomplishable it-is
Τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Her and crafty-minded addressed queenly Hera
"δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
grant now to-me love and desire with-which — you all
δαμνᾷ ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους.
subdue immortals and mortal men
εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
I-go for to-see much-nourishing the-ends of-earth
Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,
Oceanus both of-the-gods the-origin and mother Tethys
οἵ με σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ' ἀτίταλλον,
who me their halls well reared and cherished

δεξάμενοι Ῥείας, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺς
receiving from-Rhea when — Cronus far-seeing Zeus
γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης·
earth below thrust-down and barren sea
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
them I-go to-see and their endless quarrels I-will-loose
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
already for long time from-each-other they-hold-apart
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
from-bed and love since anger fell-on their-heart
εἰ κείνω γ' ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ
if those-two indeed with-words persuading the-dear heart
εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
into bed I-could-send to-be-united in-love
αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην."
always — by-them dear both and revered I-would-be-called
Τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη·
Her and in-turn addressed smile-loving Aphrodite
"οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι·
not is-it-possible nor is-it-fitting your word to-refuse
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις."
of-Zeus for the best in arms you-sleep
Ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
She-spoke and from the-breast loosed the-embroidered strap
ποικίλον, ἔνθα τέ οἱ θελκτήρια πάντα τέτυκτο·
intricate there — in-it charms all were-wrought
ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς
there in-it indeed love in and desire in and dalliance
πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.
persuasion which — steals the-mind shrewdly though of-those-thinking

τόν ῥά οἱ ἔμβαλε χερσὶν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
it then to-her she-put in-hands word and spoke out and named(-her)
“τῇ νῦν, τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ,
here now this strap in-your put bosom
ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι
embroidered which in all-things are-wrought nor you I-think
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῇσι μενοινᾷς.”
unaccomplished indeed to-return what any in-mind your you-desire
Ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
So she-spoke smiled and ox-eyed queenly Hera
μειδήσασα δ᾽ ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
smiling and then in-her-own put(-it) bosom
Ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,
She indeed went to the-house of-Zeus the-daughter Aphrodite
Ἥρη δ᾽ ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
Hera and darting left the-peak of-Olympus
Πιερίην δ᾽ ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν
Pieria and treading and Emathia lovely
σεύατ᾽ ἐφ᾽ ἱπποπόλων Θρηκῶν ὄρεα νιφόεντα,
she-sped over of-the-horse-rearing Thracians the-mountains snowy
ἀκροτάτας κορυφάς· οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
the-topmost peaks nor the-ground touched with-her-feet
ἐξ Ἀθόω δ᾽ ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,
from Athos and onto the-sea she-went billowing
Λῆμνον δ᾽ εἰσαφίκανε, πόλιν θείοιο Θόαντος.
Lemnos and she-reached the-city of-godlike Thoas
ἔνθ᾽ Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ Θανάτοιο,
there Sleep she-met the-brother of-Death
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
in — then his she-clung to-hand word and spoke out and named(-him)

“ Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ᾽ ἀνθρώπων,
Sleep lord of-all both gods of-all and men
ἠμὲν δή ποτ᾽ ἐμὸν ἔπος ἔκλυες, ἠδ᾽ ἔτι καὶ νῦν
as indeed once my word you-heard so still also now
πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα.
obey I and — to-you will-know gratitude days all
κοίμησόν μοι Ζηνὸς ὑπ᾽ ὀφρύσιν ὄσσε φαεινώ,
lull for-me of-Zeus under the-brows the-eyes shining
αὐτίκ᾽ ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
at-once when — I lie-beside-him in love
δῶρα δέ τοι δώσω καλὸν θρόνον, ἄφθιτον αἰεί,
gifts and to-you I-will-give a-fair throne imperishable forever
χρύσεον· Ἥφαιστος δέ κ᾽ ἐμὸς πάϊς ἀμφιγυήεις
golden Hephaestus and — my son lame-in-both-legs
τεύξει᾽ ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἧσει,
will-make working under and a-footstool for-the-feet he-will-put
τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.”
on-which — you-may-rest shining feet feasting
Τὴν δ᾽ ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
Her and answering addressed sweet Sleep
“ Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
Hera revered goddess daughter of-great Cronus
ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων
another indeed — I-indeed of-the-gods ever-living
ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
easily would-lull even — of-the-river the-streams
Ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται·
of-Oceanus who indeed the-origin for-all is-made
Ζηνὸς δ᾽ οὐκ ἂν ἔγωγε Κρονίονος ἆσσον ἰκοίμην,
of-Zeus but not — I-indeed of-the-son-of-Cronus nearer would-come

οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
nor would-lull when not himself indeed bid
ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή,
already for me also another-time your taught command
ἤματι τῷ ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱὸς
on-day that when that high-spirited of-Zeus son
ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας.
sailed from-Ilium of-the-Trojans the-city having-sacked
ἦτοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
truly I indeed beguiled of-Zeus the-mind aegis-bearing
νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θυμῷ,
sweet poured-around you and for-him evils devised in-heart
ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας,
rousing of-grievous winds over the-sea blasts
καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας,
and him then to-Cos well inhabited you-carried-off
νόσφι φίλων πάντων. ὁ δ' ἐπεγρόμενος χαλέπαινε,
apart from-friends all he and waking was-angry
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ' ἔξοχα πάντων
hurling about the-house the-gods me and above all
ζήτει· καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,
he-sought and — me vanished from the-upper-air would-have-hurled into-the-sea
εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν·
if not Night subduer of-gods had-saved and of-men
τὴν ἱκόμην φεύγων, ὁ δὲ παύσατο χωόμενός περ.
to-whom I-came fleeing he and ceased angered though
ἄζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια ἔρδοι.
he-shrank for lest to-Night swift displeasing he-should-do
νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι."
now again this me you-bid impossible other to-accomplish

Hera promises Sleep the Grace Pasithea and swears by Styx. They go to Ida, where Sleep perches in a fir like a bird. Zeus sees Hera and desire seizes him. She repeats her story of Oceanus and Tethys, and he answers that she can go later. He says he has never desired any goddess or woman so much, and he lists his loves. Hera protests that they will be seen, and Zeus promises a golden cloud that even the Sun cannot see through.

Τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη·
Him and in-turn addressed ox-eyed queenly Hera
"Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
Sleep why and you these-things in mind your ponder
ἦ φῂς ὡς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν
truly you-think so the-Trojans will-help far-seeing Zeus
ὡς Ἡρακλῆος περιχώσατο παῖδος ἑοῖο;
as for-Heracles he-was-enraged son his-own
ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων
but go I and — to-you of-the-Graces one of-the-younger
δώσω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν."
will-give to-wed and your to-be-called wife
Ὣς φάτο, χήρατο δ' Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα·
So she-spoke rejoiced and Sleep answering and addressed
"ἄγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ,
come now to-me swear by-the-inviolable of-Styx water
χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
with-hand and the one indeed take the-earth much-nourishing
τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες
with-the and other the-sea gleaming that to-us-two all
μάρτυροι ὦσ' οἵ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἑόντες,
witnesses may-be the below gods Cronus around being

ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων,
truly indeed to-me to-give of-the-Graces one of-the-younger
Πασιθέην, ἧς τ᾽ αὐτὸς ἐέλδομαι ἤματα πάντα.”
Pasithea for-whom — myself I-yearn days all
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
So he-spoke nor disobeyed the-goddess white-armed Hera
ὄμνυε δ᾽ ὡς ἐκέλευε, θεοὺς δ᾽ ὀνόμηνεν ἅπαντας
swore and as he-bade the-gods and she-named all
τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
those beneath-Tartarus who Titans are-called
αὐτὰρ ἐπεί ῥ᾽ ὅμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
but when then she-had-sworn both completed and the oath
τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε,
they-two went of-Lemnos both and of-Imbros the-town leaving
ἠέρα ἑσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον.
in-mist clothed swiftly accomplishing the-way
Ἴδην δ᾽ ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν,
Ida and they-reached many-fountained mother of-beasts
Λεκτόν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ᾽ ἐπὶ χέρσου
Lectum where first they-left the-sea they-two and on dry-land
βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο σείετο ὕλη.
went the-topmost and the-feet under shook the-forest
ἔνθ᾽ Ὕπνος μὲν ἔμεινε πάρος Διὸς ὄσσε ἰδέσθαι,
there Sleep indeed stayed before of-Zeus the-eyes to-see
εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ᾽ ἐν Ἴδῃ
into a-fir climbing very-tall which then in Ida
μακροτάτη πεφυυῖα δι᾽ ἠέρος αἰθέρ᾽ ἵκανεν·
tallest grown through the-mist to-the-upper-air reached
ἔνθ᾽ ἧστ᾽ ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν,
there he-sat with-branches covered of-fir

ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ᾽ ἐν ὄρεσσι
to-a-bird shrill like which — in the-mountains
χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.
chalcis call the-gods men but cymindis
Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον
Hera and swiftly went-up-to Gargarus the-peak
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
of-Ida lofty saw and cloud-gatherer Zeus
ὡς δ᾽ ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,
as and he-saw so him desire close wits covered
οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι,
such-as when first indeed they-mingled in-love
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
to bed going their-dear unbeknown-to parents
στῆ δ᾽ αὐτῆς προπάροιθεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
stood and her before word and spoke out and named(-her)
“Ἥρη, πῇ μεμαυῖα κατ᾽ Οὐλύμπου τόδ᾽ ἱκάνεις;
Hera whither eager down from-Olympus here do-you-come
ἵπποι δ᾽ οὐ παρέασι καὶ ἅρματα, τῶν κ᾽ ἐπιβαίης.”
horses and not are-present and chariot which — you-might-mount
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Him and crafty-minded addressed queenly Hera
“ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
I-go to-see much-nourishing the-ends of-earth
Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,
Oceanus both of-the-gods the-origin and mother Tethys
οἵ με σφοῖσι δόμοισιν ἐϋ τρέφον ἠδ᾽ ἀτίταλλον·
who me in-their halls well reared and cherished
τοὺς εἶμ᾽ ὀψομένη, καί σφ᾽ ἄκριτα νείκεα λύσω·
them I-go to-see and their endless quarrels I-will-loose

ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
already for long time from-each-other they-hold-apart
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
from-bed and love since anger fell-on their-heart
ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
the-horses and in the-foothills of-many-fountained Ida
ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
stand which me will-carry over dry both and wet
νῦν δὲ σεῦ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
now and of-you for-the-sake hither down from-Olympus here I-come
μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
lest somehow with-me afterward you-be-angry if — silently
οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο."
I-go to the-house of-deep-flowing Oceanus
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
" Ἥρη, κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
Hera thither indeed it-is-possible even later to-go
νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
we-two but come in love let-us-take-our-pleasure having-gone-to-bed
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
not for yet ever me so for-a-goddess desire nor for-a-woman
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
the-heart in breast poured-around subdued
οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
not-even when I-loved of-Ixion the-wife
ἣ τέκε Πειρίθοον, θεόφιν μήστωρ' ἀτάλαντον·
who bore Peirithous to-the-gods in-counsel equal
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
nor when indeed Danaë fair-ankled daughter-of-Acrisius

ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
who bore Perseus of-all conspicuous among-men
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
nor when of-Phoenix the-daughter far-famed
ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
who bore to-me Minos both and godlike Rhadamanthys
οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
nor when indeed Semele nor Alcmene in Thebes
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
who then Heracles stout-hearted bore son
ἡ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν·
she and Dionysus Semele bore a-joy to-mortals
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
nor when Demeter fair-tressed queen
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς,
nor when Leto glorious nor you yourself
ὡς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ."
as you now I-love and me sweet desire seizes
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Him and crafty-minded addressed queenly Hera
"αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες.
most-dread son-of-Cronus what — word you-spoke
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
if now in love you-desire to-go-to-bed
Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα·
of-Ida on the-peaks this and is-in-full-view all

πῶς κ᾽ ἔοι, εἴ τις νῶϊ θεῶν αἰειγενετάων
how — would-it-be if any us-two of-the-gods ever-living
εὕδοντ᾽ ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
sleeping should-see to-the-gods and all going
πεφράδοι; οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην
should-tell not — I-indeed your to house would-return
ἐξ εὐνῆς ἀνστᾶσα, νεμεσσητὸν δέ κεν εἴη.
from bed rising shameful and — it-would-be
ἀλλ᾽ εἰ δή ῥ᾽ ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ,
but if indeed then you-wish and to-you dear it-is to-the-heart
ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
there-is for-you a-chamber which for-you your-dear son built
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν·
Hephaestus close and the-doors to-the-posts fitted
ἔνθ᾽ ἴομεν κείοντες, ἐπεί νύ τοι εὐάδεν εὐνή.᾽᾽
there let-us-go to-lie-down since now to-you pleases bed

Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
᾽᾽ Ἥρη, μήτε θεῶν τό γε δείδιθι μήτε τιν᾽ ἀνδρῶν
Hera neither of-the-gods this indeed fear nor any of-men
ὄψεσθαι· τοιόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
will-see such for-you I a-cloud will-put-around
χρύσεον· οὐδ᾽ ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
golden nor — us-two could-see-through the-Sun even
οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.᾽᾽
whose — even sharpest is light to-look-on

The earth sends up grass and flowers beneath them, and Zeus sleeps. Sleep tells Poseidon to help the Danaans while Zeus sleeps. Poseidon has the best fighters take the best armor and leads the Achaeans with his terrible sword. Hector leads the Trojans, and the two armies clash with a roar greater than sea, fire, or wind. Hector's spear is stopped by Ajax's straps, and Ajax strikes him with a stone. His comrades shield him and carry him toward the city.

Ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἦν παράκοιτιν·
He-spoke then and in-his-arms clasped of-Cronus the-son his wife
τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
for-them and under the-earth bright grew fresh-sprouting grass
λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
clover and dewy and crocus and hyacinth
πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε.
thick and soft which from the-ground aloft kept(-them)
τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἔσσαντο
it in they-lay over and a-cloud they-drew
καλὴν χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι.
fair golden glistening and fell-off the-dewdrops
Ὣς ὁ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ,
So he indeed quietly slept the-father on Gargarus the-peak
ὕπνῳ καὶ φιλότητι δαμείς, ἔχε δ' ἀγκὰς ἄκοιτιν·
by-sleep and love subdued he-held and in-his-arms his-wife
βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος Ὕπνος
went and to-run to the-ships of-the-Achaeans sweet Sleep
ἀγγελίην ἐρέων γαιηόχῳ ἐννοσιγαίῳ·
the-message to-tell to-the-earth-holder earth-shaker
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed

"πρόφρων νῦν Δαναοῖσι, Ποσείδαον, ἐπάμυνε,
readily now the-Danaans Poseidon help
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὖδει
and to-them glory grant briefly though while still sleeps
Ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα·
Zeus since over-him I soft about slumber I-shed
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι." 360
Hera and into love beguiled-him to-go-to-bed
Ὣς εἰπὼν ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων,
So having-spoken he indeed went to the-famous tribes of-men
τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
him and still more he-urged to-help the-Danaans
αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·
at-once and among the-foremost far leaping-forth he-called
" Ἀργεῖοι, καὶ δὴ αὖτε μεθίεμεν Ἕκτορι νίκην
Argives and indeed again do-we-yield to-Hector the-victory
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ καὶ κῦδος ἄρηται; 365
son-of-Priam that the-ships he-may-take and glory win
ἀλλ' ὁ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺς
but he indeed so says and boasts because Achilles
νηυσὶν ἔπι γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
the-ships by hollow stays angered at-heart
κείνου δ' οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
of-him but not at-all very longing will-be if — the others
ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
we urge-ourselves to-help each-other
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες· 370
but come as — I say let-us-obey all

ἀσπίδες ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται
the-shields as-many-as best in army and greatest
ἑσσάμενοι, κεφαλὰς δὲ παναίθῃσιν κορύθεσσι
putting-on the-heads and with-all-gleaming helmets
κρύψαντες, χερσίν τε τὰ μακρότατ᾽ ἔγχε᾽ ἑλόντες,
covering in-hands and the longest spears taking
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ᾽ ἔτι φημὶ
let-us-go but I will-lead nor any-longer I-think
Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα.
Hector son-of-Priam will-stand very though eager
ὃς δέ κ᾽ ἀνὴρ μενέχαρμος, ἔχει δ᾽ ὀλίγον σάκος ὤμῳ,
who but — a-man steadfast-in-battle has but a-small shield on-shoulder
χείρονι φωτὶ δότω, ὁ δ᾽ ἐν ἀσπίδι μείζονι δύτω."
to-a-worse man let-him-give he and in a-shield greater let-him-enter
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο·
So he-spoke they and then him very indeed heard and obeyed
τοὺς δ᾽ αὐτοὶ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ,
them and themselves the-kings marshaled wounded though
Τυδείδης Ὀδυσεύς τε καὶ Ἀτρείδης Ἀγαμέμνων·
the-son-of-Tydeus Odysseus both and the-son-of-Atreus Agamemnon
οἰχόμενοι δ᾽ ἐπὶ πάντας ἀρήϊα τεύχε᾽ ἄμειβον·
going and to all the-warlike arms they-exchanged
ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκον.
the-good-ones indeed the-good-man put-on the-worse and to-the-worse they-gave
αὐτὰρ ἐπεί ῥ᾽ ἔσσαντο περὶ χροΐ νώροπα χαλκόν,
but when then they-had-put-on about the-flesh the-gleaming bronze
βάν ῥ᾽ ἴμεν· ἦρχε δ᾽ ἄρα σφι Ποσειδάων ἐνοσίχθων,
they-went then to-go led and then them Poseidon the-earth-shaker
δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,
dread sword long-edged holding in hand stout

εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
like to-lightning with-it and not right it-is to-mingle
ἐν δαΐ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
in battle grim but fear holds-back men
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμει φαίδιμος Ἕκτωρ.
the-Trojans and in-turn on-the-other-side marshaled glorious Hector
δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν
indeed then then most-dread the-strife of-war they-strained
κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμος Ἕκτωρ,
dark-haired Poseidon and glorious Hector
ἤτοι ὁ μὲν Τρώεσσιν, ὁ δ' Ἀργείοισιν ἀρήγων.
truly the-one indeed the-Trojans the-other and the-Argives helping
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
surged and the-sea toward the-huts both ships and
Ἀργείων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
of-the-Argives they and came-together with-great war-cry
οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
neither of-the-sea the-wave so-loud roars toward the-dry-land
ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ·
from-the-deep roused by-the-blast of-Boreas grievous
οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος αἰθομένοιο
nor of-fire so-great indeed besides the-roar blazing
οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
of-a-mountain in the-glens when — it-rises to-burn the-forest
οὔτ' ἄνεμος τόσσον γε περὶ δρυσὶν ὑψικόμοισι
nor the-wind so-loud indeed around oaks high-leaved
ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται χαλεπαίνων,
cries which — most greatly roars raging

ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ
as-great-as then of-the-Trojans and Achaeans was the-voice
δεινὸν ἀϋσάντων, ὅτ᾽ ἐπ᾽ ἀλλήλοισιν ὄρουσαν.
dreadfully shouting when on each-other they-rushed
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
at-Ajax and first threw glorious Hector
ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ᾽ ἀφάμαρτε,
with-the-spear since he-was-turned toward straight him nor missed
τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην,
where then two straps around the-breast were-stretched
ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου·
truly the-one indeed of-the-shield the-other and of-the-sword silver-studded
τώ οἱ ῥυσάσθην τέρενα χρόα. χώσατο δ᾽ Ἕκτωρ,
they for-him guarded the-tender flesh was-angered and Hector
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός,
that then his dart swift vain escaped from-hand
ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων.
back and of-comrades into the-band withdrew doom avoiding
τὸν μὲν ἔπειτ᾽ ἀπιόντα μέγας Τελαμώνιος Αἴας
him indeed then going-away great Telamonian Ajax
χερμαδίῳ, τά ῥα πολλά, θοάων ἔχματα νηῶν
with-a-stone which then many of-swift props of-the-ships
πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἓν ἀείρας
by feet of-the-fighters rolled of-them one lifting
στῆθος βεβλήκει ὑπὲρ ἄντυγος ἀγχόθι δειρῆς,
the-chest hit above the-rim near the-neck
στρόμβον δ᾽ ὣς ἔσσευε βαλών, περὶ δ᾽ ἔδραμε πάντῃ.
a-top and like spun-him hitting around and he-ran everywhere

ὡς δ᾽ ὅθ᾽ ὑπὸ πληγῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
as and when under the-stroke of-father Zeus falls an-oak
πρόρριζος, δεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
uprooted dread and of-sulfur arises a-smell
ἐξ αὐτῆς, τὸν δ᾽ οὔ περ ἔχει θράσος ὅς κεν ἴδηται
from it him and not indeed holds courage who — sees
ἐγγὺς ἐών, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός,
near being hard and of-Zeus great the-thunderbolt
ὣς ἔπεσ᾽ Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι·
so fell of-Hector quickly to-the-ground the-might in the-dust
χειρὸς δ᾽ ἔκβαλεν ἔγχος, ἐπ᾽ αὐτῷ δ᾽ ἀσπὶς ἐάφθη
from-the-hand and cast the-spear on him and the-shield was-fixed
καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
and helmet around and him clanged the-arms inlaid with-bronze
οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,
they and loudly shouting ran-up the-sons of-the-Achaeans
ἐλπόμενοι ἐρύεσθαι, ἀκόντιζον δὲ θαμειὰς
hoping to-drag(-him) they-hurled and thick
αἰχμάς· ἀλλ᾽ οὔ τις ἐδυνήσατο ποιμένα λαῶν
spears but not any could the-shepherd of-the-people
οὐτάσαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
wound nor hit before for stood-around(-him) the-best
Πουλυδάμας τε καὶ Αἰνείας καὶ δῖος Ἀγήνωρ
Polydamas both and Aeneas and noble Agenor
Σαρπηδών τ᾽, ἀρχὸς Λυκίων, καὶ Γλαῦκος ἀμύμων.
Sarpedon and leader of-the-Lycians and Glaucus blameless

τῶν δ' ἄλλων οὔ τίς εὐ ἀκήδεσεν, ἀλλὰ πάροιθεν
of-the and others not any him neglected but before
ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
shields well-rounded held of-him him and then the-comrades
χερσὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
in-hands lifting carried from the-toil until he-reached the-horses
ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
swift which for-him behind the-battle and war
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
stood the-charioteer both and the-chariot inlaid holding
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
who him indeed to the-town carried heavily groaning

XIV.6 · THE TROJANS ROUTED

At the Xanthus his friends pour water over Hector, who vomits blood and faints again. The Achaeans attack harder. The lesser Ajax kills Satnius, and Polydamas kills Prothoënor and boasts. Ajax kills Archelochus, and Acamas kills Promachus and boasts in turn. Peneleos kills Ilioneus, holds up his head on the spear like a poppy, and taunts the Trojans. The Trojans flee. The poet asks the Muses who first won spoils, and lists the killers, the lesser Ajax killing most.

Ἀλλ' ὅτε δὴ πόρον ἶξον ἐϋρρεῖος ποταμοῖο,
But when indeed the-ford they-reached of-the-fair-flowing river
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
of-Xanthus eddying whom immortal begot Zeus
ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονί, κὰδ δέ οἱ ὕδωρ
there him from the-horses they-laid on-the-ground down and on-him water
χεῦαν· ὁ δ' ἐμπνύνθη καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν,
poured he and regained-breath and looked-up with-his-eyes

ἑζόμενος δ᾽ ἐπὶ γοῦνα κελαινεφὲς αἷμ᾽ ἀπέμεσσεν·
sitting and on knees dark blood vomited
αὖτις δ᾽ ἐξοπίσω πλῆτο χθονί, τὼ δέ οἱ ὄσσε
back and backward he-sank to-the-ground the-two and his eyes
νὺξ ἐκάλυψε μέλαινα· βέλος δ᾽ ἔτι θυμὸν ἐδάμνα.
night covered black the-blow and still the-spirit subdued
Ἀργεῖοι δ᾽ ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα,
the-Argives and when then they-saw Hector away going
μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
more on the-Trojans leapt remembered and the-fight
ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας
there much first of-Oïleus swift Ajax
Σάτνιον οὔτασε δουρὶ μετάλμενος ὀξυόεντι
Satnius wounded with-the-spear leaping-on sharp
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε νηΐς ἀμύμων
son-of-Enops whom then a-nymph bore a-Naiad blameless
Ἤνοπι βουκολέοντι παρ᾽ ὄχθας Σατνιόεντος.
to-Enops herding by the-banks of-the-Satnioïs
τὸν μὲν Ὀϊλιάδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν
him indeed the-son-of-Oïleus spear-famed near coming
οὖτα κατὰ λαπάρην· ὁ δ᾽ ἀνετράπετ᾽, ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
wounded on the-flank he and fell-back around and then him
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
the-Trojans and Danaans joined mighty combat
τῷ δ᾽ ἐπὶ Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
him and to Polydamas spear-wielding came as-defender
Πανθοΐδης, βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
son-of-Panthous he-hit and Prothoënor the-right shoulder

υἱὸν Ἀρηϊλύκοιο, δι᾽ ὤμου δ᾽ ὄβριμον ἔγχος
son of-Areïlycus through the-shoulder and the-mighty spear
ἔσχεν, ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
held he and in the-dust falling clutched the-earth with-the-palm
Πουλυδάμας δ᾽ ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας·
Polydamas and terribly boasted loudly shouting
"οὐ μὰν αὖτ᾽ ὀΐω μεγαθύμου Πανθοΐδαο
not indeed again I-think of-the-great-hearted son-of-Panthous
χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
the-hand from stout vain to-have-leapt the-javelin
ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀΐω
but some of-the-Argives caught(-it) in-his-flesh and him I-think
αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω."
on-it leaning to-go-down the-house of-Hades within
Ὣς ἔφατ᾽, Ἀργείοισι δ᾽ ἄχος γένετ᾽ εὐξαμένοιο·
So he-spoke to-the-Argives and grief arose at-his-boasting
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε,
for-Ajax and most wise the-heart it-stirred
τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα.
the son-of-Telamon of-him for he-fell near most
καρπαλίμως δ᾽ ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
swiftly and at-him-going-away threw with-spear shining
Πουλυδάμας δ᾽ αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν
Polydamas and himself indeed avoided doom black
λικριφὶς ἀΐξας, κόμισεν δ᾽ Ἀντήνορος υἱὸς
sideways darting caught(-it) and of-Antenor son
Ἀρχέλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον.
Archelochus for-him for then the-gods planned destruction
τόν ῥ᾽ ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
him then it-hit of-the-head both and neck at the-joint

νείατον ἀστράγαλον, ἀπὸ δ' ἄμφω κέρσε τένοντε·
the-lowest vertebra off and both cut sinews
τοῦ δὲ πολὺ πρότερον κεφαλὴ στόμα τε ῥῖνές τε
of-him and much sooner the-head mouth both nostrils and
οὔδει πλῆντ' ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντος.
the-ground reached than indeed shins and knees fallen
Αἴας δ' αὖτ' ἐγέγωνεν ἀμύμονι Πουλυδάμαντι·
Ajax and in-turn called-out to-blameless Polydamas
"φράζεο, Πουλυδάμα, καί μοι νημερτὲς ἐνίσπες,
consider Polydamas and to-me truly tell
ἦ ῥ' οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντὶ πεφάσθαι
truly then not this man for-Prothoënor in-return to-be-slain
ἄξιος; οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ,
worthy not indeed to-me base seems nor base-men from
ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο,
but brother of-Antenor horse-taming
ἢ πάϊς· αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει."
or son to-him for in-race nearest he-was-like
Ἦ ῥ' εὖ γιγνώσκων, Τρῶας δ' ἄχος ἔλλαβε θυμόν.
He-spoke then well knowing the-Trojans and grief seized the-heart
ἔνθ' Ἀκάμας Πρόμαχον Βοιώτιον οὔτασε δουρί,
there Acamas Promachus the-Boeotian wounded with-the-spear
ἀμφὶ κασιγνήτῳ βεβαώς· ὁ δ' ὕφελκε ποδοῖιν.
around his-brother standing he and was-dragging by-the-feet
τῷ δ' Ἀκάμας ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας·
over-him and Acamas terribly boasted loudly shouting
" Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
Argives arrow-fighters of-threats insatiate

οὔ θην οἵοισίν γε πόνος τ' ἔσεται καὶ ὀϊζὺς
not truly to-us-alone indeed toil both will-be and misery
ἡμῖν, ἀλλά ποθ' ὧδε κατακτενέεσθε καὶ ὔμμες.
to-us but some-time thus will-be-slain also you
φράζεσθ' ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
consider how for-you Promachus subdued sleeps
ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
by-spear my that not at-all of-a-brother indeed the-price
δηρὸν ἄτιτος ἔῃ· τῶ καί τίς τ' εὔχεται ἀνὴρ
long unpaid may-be therefore also some — prays a-man
γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα λιπέσθαι."
a-kinsman in the-halls of-ruin an-averter to-leave-behind
Ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
So he-spoke to-the-Argives and grief arose at-his-boasting
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
for-Peneleos and most wise the-heart it-stirred
ὠρμήθη δ' Ἀκάμαντος· ὁ δ' οὐχ ὑπέμεινεν ἐρωὴν
he-rushed and at-Acamas he but not withstood the-charge
Πηνελέωο ἄνακτος· ὁ δ' οὔτασεν Ἰλιονῆα,
of-Peneleos lord he and wounded Ilioneus
υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
son of-Phorbas rich-in-flocks whom then most
Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσε·
Hermes of-the-Trojans loved and wealth granted
τῷ δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα.
to-him and then under the-mother only bore Ilioneus
τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
him then under the-brow he-wounded at of-the-eye the-roots

ἐκ δ᾽ ὦσε γλήνην· δόρυ δ᾽ ὀφθαλμοῖο διαπρὸ
out and he-thrust the-eyeball the-spear and of-the-eye right-through
καὶ διὰ ἰνίου ἦλθεν, ὁ δ᾽ ἔζετο χεῖρε πετάσσας
and through the-nape went he and sat hands spreading
ἄμφω· Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
both Peneleos and drawing sword sharp
αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε
the-neck middle drove-into struck-off and to-the-ground
αὐτῇ σὺν πήληκι κάρη· ἔτι δ᾽ ὄβριμον ἔγχος
with-itself with the-helmet the-head still and the-mighty spear
ἦεν ἐν ὀφθαλμῷ· ὁ δὲ φὴ κώδειαν ἀνασχὼν
was in the-eye he and like a-poppy-head holding-up
πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα·
showed both to-the-Trojans and boasting word spoke
“εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος
tell for-me Trojans of-lordly Ilioneus
πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν·
to-the-father dear and mother to-wail in the-halls
οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο
not-even for the of-Promachus wife son-of-Alegenor
ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
in-her-husband dear coming will-rejoice when — indeed
ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.”
from Troy with ships we-return young-men of-the-Achaeans

Ὣς φάτο, τοὺς δ᾽ ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα,
So he-spoke them and then all under trembling seized limbs
πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
peered and each where he-might-flee sheer destruction

Ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
Tell now to-me Muses Olympian homes having
ὅς τις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
who any indeed first bloody spoils of-the-Achaeans
ἦρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς ἐννοσίγαιος.
won when then turned the-battle the-famous earth-shaker
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὗτα
Ajax then first Telamonian Hyrtius wounded
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
son-of-Gyrtius of-the-Mysians leader stout-hearted
Φάλκην δ' Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξε·
Phalces and Antilochus and Mermerus slew
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα,
Meriones and Morys both and Hippotion killed
Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην·
Teucer and Prothoön and slew and Periphetes
Ἀτρεΐδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν,
the-son-of-Atreus and then then Hyperenor shepherd of-the-people
οὗτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
wounded on the-flank through and the-entrails bronze drained
δηώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
cleaving the-soul and through the-wounded wound
ἔσσυτ' ἐπειγομένη, τὸν δὲ σκότος ὄσσε κάλυψε.
rushed hastening him and darkness the-eyes covered
πλείστους δ' Αἴας εἷλεν, Ὀϊλῆος ταχὺς υἱός·
the-most and Ajax took of-Oïleus swift son

οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
not for to-him any equal to-follow with-feet was
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ.
of-men fleeing when — Zeus in rout rouses

BOOK XV

XV.1 · ZEUS WAKES

Zeus wakes beside Hera and sees the Trojans routed and Hector vomiting blood. He reminds Hera how he hung her with anvils at her feet for persecuting Heracles. Hera swears she did not set Poseidon on, and Zeus tells her to summon Iris and Apollo. Iris will send Poseidon off, and Apollo will revive Hector. He foretells the deaths of Patroclus, Sarpedon, and Hector, and the fall of Troy.

Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
But when through both the-stakes and the-ditch they-went
φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν,
fleeing many and were-subdued of-the-Danaans under the-hands
οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες,
they indeed truly by the-chariots were-held-back staying
χλωροὶ ὑπαὶ δείους, πεφοβημένοι· ἔγρετο δὲ Ζεὺς
pale under fear routed woke and Zeus
Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης,
of-Ida on the-peaks beside golden-throned Hera
στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιούς,
stood and then leaping-up saw and the-Trojans and Achaeans
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
those indeed routed the-others and routing behind
Ἀργείους, μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα·
the-Argives among and them Poseidon lord

Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον, ἀμφὶ δ' ἑταῖροι
Hector and in the-plain he-saw lying around and the-comrades
ἧαθ', ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι κῆρ ἀπινύσσων
they-sat he and with-grievous was-held gasping the-heart senseless
αἷμ' ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
blood vomiting since not him the-weakest hit of-the-Achaeans
τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
him and seeing pitied the-father of-men both of-gods and
δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
dreadfully and from-under looking Hera to speech said
"ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
truly very indeed evil-working unmanageable your trick Hera
Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
Hector noble has-stopped from-battle has-routed and the-hosts
οὐ μὰν οἶδ' εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
not indeed I-know if again of-evil-contrivance grievous
πρώτη ἐπαύρηαι καί σε πλαγῇσιν ἰμάσσω.
first you-may-reap-the-fruit and you with-blows I-flog
ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
or not you-remember when — you-hung from-on-high from and the-feet
ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἔηλα
anvils I-hung two around hands and a-bond I-cast
χρύσεον ἄρρηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
golden unbreakable you and in the-upper-air and clouds
ἐκρέμω· ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
hung were-indignant and the-gods through high Olympus

λῦσαι δ᾽ οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι
to-loose but not they-could standing-by whom and I-caught
ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ᾽ ἂν ἵκηται
I-would-hurl seizing from the-threshold until — he-reached
γῆν ὀλιγηπελέων· ἐμὲ δ᾽ οὐδ᾽ ὣς θυμὸν ἀνίει
the-earth feeble me but not-even so the-heart released
ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο,
ceaseless grief for-Heracles godlike
τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
whom you with Boreas the-wind having-persuaded the-gales
πέμψας ἐπ᾽ ἀτρύγετον πόντον, κακὰ μητιόωσα,
sending over the-barren sea evils devising
καί μιν ἔπειτα Κόωνδ᾽ εὖ ναιομένην ἀπένεικας.
and him then to-Cos well inhabited you-carried-off
τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην καὶ ἀνήγαγον αὖτις
him indeed I thence rescued and brought-back again
Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα.
Argos to horse-pasturing even many indeed having-suffered
τῶν σ᾽ αὖτις μνήσω, ἵν᾽ ἀπολλήξῃς ἀπατάων,
of-these you again I-will-remind that you-may-cease from-deceits
ὄφρα ἴδῃ ἢν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
that you-may-see if to-you will-avail love both and bed
ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καί μ᾽ ἀπάτησας.”
in-which you-mingled coming the-gods from and me deceived
Ὣς φάτο, ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
So he-spoke shuddered and ox-eyed queenly Hera
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed

"ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθε
let-know now this Earth and Heaven broad above
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
and the down-flowing of-Styx water which — greatest
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,
oath most-dread and is for-the-blessed gods
σή θ' ἱερὴ κεφαλὴ καὶ νωΐτερον λέχος αὐτῶν
your and sacred head and our bed of-ourselves
κουρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
wedded by-which indeed not — I ever falsely would-swear
μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
not through my will Poseidon the-earth-shaker
πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει,
harms the-Trojans both and Hector them and helps
ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει,
but somehow him heart urges and bids
τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
worn-out and by the-ships seeing he-pitied the-Achaeans
αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην
but for-you even him I would-advise
τῇ ἴμεν ᾗ κεν δὴ σύ, κελαινεφές, ἡγεμονεύῃς."
there to-go where — indeed you dark-clouded lead
Ὣς φάτο, μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
So she-spoke smiled and the-father of-men both of-gods and
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
and her answering words winged addressed
"εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπις πότνια Ἥρη,
if indeed truly you indeed then ox-eyed queenly Hera
ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
equally with-me minded among the-immortals should-sit

τῶ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
then — Poseidon indeed even if greatly he-wishes otherwise
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
quickly would-turn his-mind after your and my heart
ἀλλ᾽ εἰ δή ῥ᾽ ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
but if indeed then truly indeed and truthfully you-speak
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
go now among the-tribes of-the-gods and here summon
Ἶριν τ᾽ ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον, 55
Iris both to-come and Apollo famed-for-the-bow
ὄφρ᾽ ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
that she indeed among the-host of-the-Achaeans bronze-coated
ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι
may-go and may-tell Poseidon lord
παυσάμενον πολέμοιο τὰ ᾗ πρὸς δώμαθ᾽ ἱκέσθαι,
having-ceased from-war the his to halls to-go
Ἕκτορα δ᾽ ὀτρύνῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων,
Hector and may-rouse to-battle into Phoebus Apollo
αὖτις δ᾽ ἐμπνεύσῃσι μένος, λελάθῃ δ᾽ ὀδυνάων 60
again and may-breathe-in might may-make-forget and the-pains
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
which now him distress in mind but the-Achaeans
αὖτις ἀποστρέψῃσιν ἀνάλκιδα φύζαν ἐνόρσας,
again may-turn-back unwarlike panic rousing

φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι
fleeing and on the-ships many-benched may-fall
Πηλεΐδεω Ἀχιλῆος· ὁ δ' ἀνστήσει ὃν ἑταῖρον
of-the-son-of-Peleus Achilles he and will-rouse his comrade
Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Patroclus him and will-kill with-the-spear glorious Hector
Ἰλίου προπάροιθε, πολέας ὀλέσαντ' αἰζηοὺς
Ilium before many having-slain young-men
τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
the others among and son my Sarpedon noble
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
for-him and angered will-kill Hector noble Achilles
ἐκ τοῦ δ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
from then and — for-you then a-rout-back from the-ships
αἰὲν ἐγὼ τεύχοιμι διαμπερές, εἰς ὅ κ' Ἀχαιοὶ
always I would-make continually until the-time — the-Achaeans
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς.
Ilium steep take of-Athena through the-counsels
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτε τιν' ἄλλον
the before and neither then I cease anger nor any other
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
of-the-immortals the-Danaans to-help here will-allow
πρίν γε τὸ Πηλεΐδαο τελευτηθῆναι ἐέλδωρ,
before indeed the of-the-son-of-Peleus to-be-fulfilled desire
ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι,
as to-him I-promised first with-my and nodded head
ἤματι τῷ ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
on-day that when of-me the-goddess Thetis clasped the-knees
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον."
begging to-honor Achilles sacker-of-cities

Hera flies to Olympus as fast as thought. Themis greets her, and Hera tells the gods of Zeus's harshness. She smiles with her lips only, and tells them it is useless to resist Zeus, adding that Ares' son Ascalaphus has fallen. Ares wants to avenge him, but Athena takes his helmet, shield, and spear and seats him again. Hera sends Iris and Apollo to Zeus on Ida, and Zeus orders Iris to tell Poseidon to leave the fighting.

Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
So he-spoke nor disobeyed the-goddess white-armed Hera
βῆ δ' ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
went and from the-Idaean mountains to high Olympus
ὡς δ' ὅτ' ἂν ἀΐξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλὴν
as and when — darts the-mind of-a-man who — over much
γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ,
land having-traveled in-mind shrewd thinks
"ἔνθ' εἴην, ἢ ἔνθα," μενοινήησί τε πολλά,
there I-would-be or there wishes and many-things
ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
so swiftly eager flew-through queenly Hera
ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν
reached and steep Olympus gathered and she-came-among
ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἱ δὲ ἰδόντες
immortal gods in-Zeus' house they and seeing
πάντες ἀνήϊξαν καὶ δεικανόωντο δέπασσιν.
all sprang-up and pledged-her with-cups
ἡ δ' ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρήῳ
she and the-others indeed let-be from-Themis and fair-cheeked
δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα,
took the-cup first for to-meet-her came running

καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
" Ἥρη, τίπτε βέβηκας; ἀτυζομένῃ δὲ ἔοικας·
Hera why have-you-come dismayed and you-are-like
ἦ μάλα δή σε φόβησε Κρόνου πάϊς, ὅς τοι ἀκοίτης."
truly very indeed you frightened of-Cronus the-son who your husband
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ λευκώλενος Ἥρη·
Her and answered then the-goddess white-armed Hera
"μή με, θεὰ Θέμι, ταῦτα διείρεο· οἶσθα καὶ αὐτή,
not me goddess Themis about-these-things ask you-know also yourself
οἷος κείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
what-sort his heart overweening and harsh
ἀλλὰ σύ γ᾽ ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐΐσης·
but you indeed begin for-the-gods halls in of-the-feast equal
ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισιν,
these-things and also among all you-will-hear the-immortals
οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται· οὐδέ τί φημι
what-sort Zeus evil deeds declares nor at-all I-say
πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, οὔτε βροτοῖσιν
for-all alike the-heart to-rejoice neither for-mortals
οὔτε θεοῖς, εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων."
nor for-gods if indeed any still now feasts cheerful
Ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη,
She indeed then so having-spoken sat-down queenly Hera
ἄχθησαν δ᾽ ἀνὰ δῶμα Διὸς θεοί· ἡ δὲ γέλασσε
were-vexed and through the-house of-Zeus the-gods she and laughed
χείλεσιν, οὐδὲ μέτωπον ἐπ᾽ ὀφρύσι κυανέῃσιν
with-the-lips nor the-forehead over brows dark
ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα·
was-cheered to-all and indignant spoke-among

"νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες·
fools who against-Zeus rage senselessly
ἦ ἔτι μιν μέμαμεν καταπαυσέμεν ἆσσον ἰόντες
truly still him we-are-eager to-stop nearer going
ἢ ἔπει ἠὲ βίῃ· ὁ δ' ἀφήμενος οὐκ ἀλεγίζει
either by-word or by-force he but sitting-apart not cares
οὐδ' ὄθεται· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
nor heeds he-says for among immortal gods
κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
in-might both in-strength and distinctly to-be best
τῶ ἔχεθ' ὅττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ.
therefore bear whatever — to-you evil he-sends to-each
ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι·
already for now I-think for-Ares indeed a-bane to-have-been-wrought
υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι, φίλτατος ἀνδρῶν,
the-son for his has-perished battle in dearest of-men
Ἀσκάλαφος, τόν φησιν ὃν ἔμμεναι ὄβριμος Ἄρης."
Ascalaphus whom he-says his to-be mighty Ares
Ὣς ἔφατ', αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρὼ
So she-spoke but Ares his-sturdy struck thighs
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
with-hands flat lamenting and word spoke
"μὴ νῦν μοι νεμεσήσετ', Ὀλύμπια δώματ' ἔχοντες,
not now me blame Olympian homes having
τείσασθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
to-avenge the-slaughter of-my-son going to the-ships of-the-Achaeans
εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ
if indeed for-me even fate by-Zeus' struck thunderbolt
κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν."
to-lie together with-the-corpses among blood and dust

Ὣς φάτο, καί ῥ' ἵππους κέλετο Δεῖμόν τε Φόβον τε
So he-spoke and then the-horses bade Terror both Rout and
ζευγνύμεν, αὐτὸς δ' ἔντε' ἐδύσετο παμφανόωντα.
to-yoke himself and arms put-on all-gleaming
ἔνθα κ' ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
then — still greater both and more-grievous another
πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
from Zeus to-the-immortals anger and wrath would-have-arisen
εἰ μὴ Ἀθήνη πᾶσι περιδείσασα θεοῖσιν
if not Athena for-all fearing gods
ὦρτο διὲκ προθύρου, λίπε δὲ θρόνον ἔνθα θάασσε,
had-rushed through the-porch left and the-throne where she-sat
τοῦ δ' ἀπὸ μὲν κεφαλῆς κόρυθ' εἵλετο καὶ σάκος ὤμων,
of-him and from indeed the-head the-helmet she-took and the-shield from-the-shoulders
ἔγχος δ' ἔστησε στιβαρῆς ἀπὸ χειρὸς ἑλοῦσα
the-spear and she-set stout from hand taking
χάλκεον· ἡ δ' ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
bronze she and with-words assailed impetuous Ares
"μαινόμενε, φρένας ἠλέ, διέφθορας· ἦ νύ τοι αὔτως
madman in-mind crazed you-are-ruined truly now to-you idly
οὔατ' ἀκουέμεν ἐστί, νόος δ' ἀπόλωλε καὶ αἰδώς.
ears to-hear are the-mind and has-perished and shame
οὐκ ἀΐεις ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη,
not do-you-hear what — says the-goddess white-armed Hera
ἦ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
who indeed now from Zeus Olympian has-come
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ
truly do-you-wish yourself indeed having-filled-up evils many
ἆψ ἴμεν Οὔλυμπόνδε καὶ ἀχνύμενός περ ἀνάγκῃ,
back to-go to-Olympus even grieving though by-necessity

αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
but for-the others evil great all to-plant
αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
at-once for the-Trojans indeed high-spirited and the-Achaeans
λείψει, ὁ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον,
he-will-leave he and us will-go to-make-havoc into Olympus
μάρψει δ' ἐξείης ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί.
will-seize and in-a-row whoever — guilty whoever and even not
τῷ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
therefore you again now I-bid to-let-go the-anger for-(your)-son good
ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων
already for some than-him indeed in-might and hands better
ἢ πέφατ', ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
either is-slain or even then will-be-slain hard and
πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε."
of-all men to-protect the-race both offspring and
Ὣς εἰποῦσ' ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
So having-spoken she-seated on-the-throne in impetuous Ares
Ἥρη δ' Ἀπόλλωνα καλέσσατο δώματος ἐκτὸς
Hera and Apollo called of-the-house outside
Ἶριν θ', ἥ τε θεοῖσι μετάγγελος ἀθανάτοισι,
Iris and who — for-the-gods messenger immortal
καί σφεας φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
and them having-spoken words winged addressed
"Ζεὺς σφὼ εἰς Ἴδην κέλετ' ἐλθέμεν ὅττι τάχιστα·
Zeus you-two to Ida bids to-come as soon-as-possible
αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ' εἰς ὦπα ἴδησθε,
but when you-come of-Zeus and into the-face you-see
ἔρδειν ὅττι κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ."
do whatever — he urges and bids

Ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσα πάλιν κίε πότνια Ἥρη,
She indeed then so having-spoken back went queenly Hera
ἕζετο δ᾽ εἰνὶ θρόνῳ· τὼ δ᾽ ἀΐξαντε πετέσθην.
sat and on throne they-two and darting flew
Ἴδην δ᾽ ἵκανον πολυπίδακα, μητέρα θηρῶν,
Ida and they-reached many-fountained mother of-beasts
εὗρον δ᾽ εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
they-found and far-seeing the-son-of-Cronus on Gargarus topmost
ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο.
sitting around and him a-fragrant cloud was-wreathed
τὼ δὲ πάροιθ᾽ ἐλθόντε Διὸς νεφεληγερέταο
they-two and before coming of-Zeus cloud-gatherer
στήτην· οὐδέ σφωϊν ἰδὼν ἐχολώσατο θυμῷ,
stood nor them seeing was-be-angered in-heart
ὅττι οἱ ὦκ᾽ ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην.
that to-him swiftly the-words of-his-dear wife they-obeyed
Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδα·
Iris and first words winged addressed
"βάσκ᾽ ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
go come Iris swift to-Poseidon lord
πάντα τάδ᾽ ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι.
all these-things to-announce nor a-false-messenger to-be
παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
having-ceased him bid from-battle and war
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
to-go among the-tribes of-the-gods or into the-sea bright
εἰ δέ μοι οὐκ ἐπέεσσ᾽ ἐπιπείσεται, ἀλλ᾽ ἀλογήσει,
if but to-me not in-words will-obey but will-disregard
φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
let-him-consider indeed then in mind and in heart

μή μ᾽ οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσῃ
lest me not-even strong though being attacking he-dare
μεῖναι, ἐπεί ἑο φημὶ βίῃ πολὺ φέρτερος εἶναι
to-await since than-him I-say in-might much stronger to-be
καὶ γενεῇ πρότερος· τοῦ δ᾽ οὐκ ὄθεται φίλον ἦτορ
and in-birth elder his but not shrinks dear heart
ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι."
equal to-me to-declare-himself whom — dread also others

XV.3 · POSEIDON YIELDS

Iris delivers Zeus's command. Poseidon protests that he is Zeus's equal, since the sons of Cronus divided the world in three lots: the sea to him, the darkness to Hades, the sky to Zeus, with the earth common to all. Iris warns him that the Furies follow the elder, and Poseidon yields with a threat and leaves the battle. Zeus sends Apollo with the aegis to rouse Hector, who has just recovered and asks who comes to him.

Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις,
So he-spoke nor disobeyed wind-footed swift Iris
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων ἐς Ἴλιον ἱρήν.
went and down the-Idaean mountains to Ilium sacred
ὡς δ᾽ ὅτ᾽ ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα
as and when — from the-clouds flies snow or hail
ψυχρὴ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο,
cold under the-blast of-the-sky-born Boreas
ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις,
so swiftly eager flew-through swift Iris
ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη κλυτὸν ἐννοσίγαιον·
near and standing she-addressed the-famous earth-shaker
"ἀγγελίην τινά τοι, γαιήοχε κυανοχαῖτα,
a-message some to-you earth-holder dark-haired

ἦλθον δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο.
I-have-come here bringing from Zeus aegis-bearing
παυσάμενόν σε κέλευσε μάχης ἠδὲ πτολέμοιο
having-ceased you he-bade from-battle and war
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
to-go among the-tribes of-the-gods or into the-sea bright
εἰ δέ οἱ οὐκ ἐπέεσσ' ἐπιπείσεαι, ἀλλ' ἀλογήσεις,
if but him not in-words you-will-obey but you-will-disregard
ἠπείλει καὶ κεῖνος ἐναντίβιον πολεμίξων
he-threatened also himself face-to-face to-fight
ἐνθάδ' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἄνωγε
here to-come you and to-avoid he-bids
χεῖρας, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι
his-hands since than-you he-says in-might much stronger to-be
καὶ γενεῇ πρότερος· σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
and in-birth elder your but not shrinks dear heart
ἶσόν οἱ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι."
equal to-him to-declare-yourself whom — dread also others
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς ἐννοσίγαιος·
Her and greatly vexed addressed the-famous earth-shaker
"ὢ πόποι, ἦ ῥ' ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπεν,
oh for-shame truly then good though being overbearingly he-has-spoken
εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
if me of-equal-honor being by-force unwilling he-will-restrain
τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα,
three for — from Cronus we-are brothers whom bore Rhea
Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης, ἐνέροισιν ἀνάσσων.
Zeus and I third and Hades over-the-dead ruling
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·
in-three and all-things are-divided each and got-a-share of-honor

ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
truly I got-by-lot the-gray sea to-dwell-in always
παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα,
when-we-shook-the-lots Hades and got the-gloom misty
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι·
Zeus and got the-heaven broad in the-upper-air and clouds
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.
the-earth and still common of-all and high Olympus
τῶ ῥα καὶ οὔ τι Διὸς βέομαι φρεσίν, ἀλλὰ ἕκηλος
therefore then also not at-all by-Zeus' will-I-live mind but at-ease
καὶ κρατερός περ ἐὼν μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
even mighty though being let-him-stay third in portion
χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
with-hands and not at-all me altogether a-coward like let-him-frighten
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι βέλτερον εἴη
to-daughters for — and to-sons better it-were
ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτός,
with-terrible words to-rebuke whom begot himself
οἵ ἑθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ."
who him urging will-obey even by-necessity
Τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα Ἶρις·
Him and answered then wind-footed swift Iris
"οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα,
so for indeed for-you earth-holder dark-haired
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
this am-I-to-carry to-Zeus word harsh both strong and
ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
or some will-you-turn turnable indeed — are-the-minds of-the-brave
οἶσθ' ὡς πρεσβυτέροισιν Ἐρινύες αἰὲν ἕπονται."
you-know how the-elder the-Erinyes always follow

Τὴν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Her and in-turn addressed Poseidon the-earth-shaker
"Ἶρι θεά, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
Iris goddess very this word according-to due you-have-spoken
ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.
good even this is when a-messenger fitting-things knows
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
but this dread grief the-heart and soul reaches
ὁππότ' ἂν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ
whenever — the-equal-in-lot and with-equal destined portion
νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν.
to-rebuke he-wishes with-angry words
ἀλλ' ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω·
but truly now indeed — being-indignant I-will-yield
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῷ·
other and to-you I-will-say and threaten this indeed in-heart
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
if — without me and Athena driver-of-spoil
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος,
Hera Hermes both and Hephaestus lord
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσει
Ilium steep he-will-spare nor will-wish
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
to-sack to-give and great power to-the-Argives
ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται."
let-him-know this that between-us-two incurable anger will-be
Ὣς εἰπὼν λίπε λαὸν Ἀχαιϊκὸν ἐννοσίγαιος,
So having-spoken left the-host Achaean the-earth-shaker
δῦνε δὲ πόντον ἰών, πόθεσαν δ' ἥρωες Ἀχαιοί.
plunged and the-sea going missed-him and the-heroes Achaean

καὶ τότ᾽ Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
and then Apollo addressed cloud-gatherer Zeus
"ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ᾽ Ἕκτορα χαλκοκορυστήν·
go now dear Phoebus to Hector bronze-helmeted
ἤδη μὲν γάρ τοι γαιήοχος ἐννοσίγαιος
already indeed for you-know earth-holder earth-shaker
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
is-gone into the-sea bright avoiding anger sheer
ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
ours very for — of-battle would-have-learned also others
οἵ περ ἐνέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες.
who indeed below are gods Cronus around being
ἀλλὰ τόδ᾽ ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ οἱ αὐτῷ
but this both for-me much more-profitable and for-him himself
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξε
was that before being-indignant he-yielded-to
χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτί γε τελέσθη.
hands my since not — without-sweat indeed would-it-have-been-done
ἀλλὰ σύ γ᾽ ἐν χείρεσσι λάβ᾽ αἰγίδα θυσσανόεσσαν,
but you indeed in hands take the-aegis tasseled
τῇ μάλ᾽ ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς·
with-it hard shaking to-rout the-heroes Achaean
σοὶ δ᾽ αὐτῷ μελέτω, ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
to-you and yourself let-him-be-a-care far-shooter glorious Hector
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ᾽ ἂν Ἀχαιοὶ
so-long for then in-him rouse might great until — the-Achaeans
φεύγοντες νηάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
fleeing the-ships both and Hellespont reach

κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε,
from-there and myself I will-devise deed both word and
ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο."
so-that — also again the-Achaeans may-take-breath from-toil
Ὣς ἔφατ', οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων,
So he-spoke nor then the-father disobeyed Apollo
βῆ δὲ κατ' Ἰδαίων ὀρέων, ἴρηκι ἐοικὼς
went and down the-Idaean mountains to-a-hawk like
ὠκεῖ φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεηνῶν.
swift dove-killing who — swiftest of-birds
εὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
he-found the-son of-Priam wise Hector noble
ἥμενον, οὐδ' ἔτι κεῖτο, νέον δ' ἐσαγείρετο θυμόν,
sitting nor any-longer did-he-lie newly and gathered his-spirit
ἀμφὶ ἑ γιγνώσκων ἑτάρους· ἀτὰρ ἆσθμα καὶ ἱδρὼς
around him recognizing the-comrades but the-gasping and sweat
παύετ', ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
had-ceased since him roused of-Zeus the-mind aegis-bearing
ἀγχοῦ δ' ἱστάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
near and standing addressed the-far-worker Apollo
" Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων
Hector son of-Priam why — you apart from others
ἧσ' ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;"
sit feeble truly surely some you trouble reaches
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
Him and feebly addressed helmet-flashing Hector
"τίς δὲ σύ ἐσσι φέριστε θεῶν, ὅς μ' εἴρεαι ἄντην;
who and you are best of-gods who me ask face-to-face

οὐκ ἀΐεις ὅ με νηυσὶν ἔπι πρύμνῃσιν Ἀχαιῶν
not do-you-hear that me the-ships by the-sterns of-the-Achaeans
οὓς ἑτάρους ὀλέκοντα βοὴν ἀγαθὸς βάλεν Αἴας
his comrades slaying at-the-war-cry good hit Ajax
χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς; 250
with-a-stone on the-chest stopped and of-furious courage
καὶ δὴ ἔγωγ' ἐφάμην νέκυας καὶ δῶμ' Ἄϊδαο
and indeed I-indeed thought the-dead and the-house of-Hades
ἤματι τῷδ' ἵξεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ."
on-day this to-reach since my-dear I-was-gasping-out heart

XV.4 · APOLLO LEADS THE TROJANS

Apollo tells Hector to take heart and lead the charioteers, and he will level the way. Hector springs up like a stallion breaking loose. The pursuing Achaeans lose heart at the sight of him, like hunters meeting a lion. Thoas advises the best men to stand while the rest return to the ships, and they form around Ajax, Idomeneus, Teucer, Meriones, and Meges. Apollo leads the Trojans with the aegis. While he holds it still both sides fall, but when he shakes it the Achaeans are routed.

Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Him and in-turn addressed lord far-worker Apollo
"θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
take-heart now such for-you a-helper the-son-of-Cronus
ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν, 255
from Ida has-sent-forth to-stand-by and to-defend(-you)
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὅς σε πάρος περ
Phoebus Apollo of-the-golden-sword who you before indeed
ῥύομ', ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
I-protect alike yourself both and the-steep citadel

ἀλλ᾽ ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι
but come now the-horsemen urge many
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·
the-ships to hollow to-drive the-swift horses
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
but I before going for-the-horses the-path
πᾶσαν λειανέω, τρέψω δ᾽ ἥρωας Ἀχαιούς."
all will-smooth will-turn and the-heroes Achaean
Ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
So having-spoken he-breathed-into might great the-shepherd of-the-people
ὡς δ᾽ ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ
as and when some stalled horse fed-full-of-barley at the-manger
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων,
the-halter breaking runs over-the-plain stamping
εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο,
accustomed to-bathe in-the-fair-flowing river
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
exulting high and the-head he-holds around and the-mane
ὤμοις ἀΐσσονται· ὁ δ᾽ ἀγλαΐῃφι πεποιθώς,
on-the-shoulders toss he and in-his-splendor trusting
ῥίμφα ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
nimbly him the-knees carry to both the-haunts and pasture of-mares
ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ᾽ ἐνώμα
so Hector swiftly the-feet and knees plied
ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
urging the-horsemen when of-the-god he-heard the-voice
οἱ δ᾽ ὥς τ᾽ ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
they and as — either a-stag horned or a-wild goat
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·
drive hounds both and men country

τὸν μέν τ' ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
it indeed — a-sheer rock and shady forest
εἰρύσατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·
protects nor then — for-them to-catch fated was
τῶν δέ θ' ὑπὸ ἰαχῆς ἐφάνη λὶς ἠϋγένειος
of-them and — under the-clamor appeared a-lion well-bearded
εἰς ὁδόν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας·
in the-way quickly and all turned-back even eager
ὣς Δαναοὶ ἧος μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
so the-Danaans while indeed in-a-throng always followed
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
stabbing with-swords both and spears double-pointed
αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ' ἐποιχόμενον στίχας ἀνδρῶν,
but when they-saw Hector going-among the-ranks of-men
τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός.
they-were-afraid of-all and beside the-feet fell the-heart
Τοῖσι δ' ἔπειτ' ἀγόρευε Θόας, Ἀνδραίμονος υἱός,
Them and then spoke Thoas of-Andraemon son
Αἰτωλῶν ὄχ' ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,
of-the-Aetolians far best skilled indeed with-the-javelin
ἐσθλὸς δ' ἐν σταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
brave and in standing-fight in-assembly and him few of-the-Achaeans
νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
surpassed when the-young-men vied about speeches
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them with-good-intent spoke-out and spoke-among(-them)
"ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
oh for-shame truly great wonder this with-eyes I-see

οἷον δὴ αὖτ' ἐξαῦτις ἀνέστη κῆρας ἀλύξας
how indeed again once-more has-risen the-fates escaping
Ἕκτωρ· ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου
Hector truly surely him greatly hoped the-heart of-each
χερσὶν ὑπ' Αἴαντος θανέειν Τελαμωνιάδαο.
at-the-hands under of-Ajax to-die of-the-son-of-Telamon
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
but some again of-the-gods has-rescued and saved
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν,
Hector who indeed of-many Danaans under the-knees has-loosed
ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
as also now will-be I-think not for without indeed
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν.
Zeus loud-thundering champion he-stands so eager
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
but come as — I say let-us-obey all
πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
the-multitude indeed to the-ships let-us-bid to-return
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ' εἶναι,
ourselves and as-many-as best in the-army we-claim to-be
στήομεν, εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες,
let-us-stand if — first we-may-check-him meeting
δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα
spears holding-up him and I-think even eager
θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον."
in-heart to-fear of-the-Danaans to-enter the-throng
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·
So he-spoke they and then him very indeed heard and obeyed
οἱ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
they indeed then around Ajax and Idomeneus lord

Τεῦκρον Μηριόνην τε Μέγην τ', ἀτάλαντον Ἄρηϊ,
Teucer Meriones both Meges and equal to-Ares
ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
the-combat arrayed the-best calling
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
against-Hector and the-Trojans facing but behind
ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.
the multitude to the-ships of-the-Achaeans returned
Τρῶες δὲ προΰτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
the-Trojans and struck-forward thronging led and then Hector
μακρὰ βιβάς· πρόσθεν δὲ κί' αὐτοῦ Φοῖβος Ἀπόλλων
with-long striding before and went him Phoebus Apollo
εἱμένος ὤμοιιν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν,
clad on-the-shoulders in-cloud he-held and the-aegis impetuous
δεινὴν ἀμφιδάσειαν ἀριπρεπέ', ἣν ἄρα χαλκεὺς
dread shaggy-all-round conspicuous which then the-smith
Ἥφαιστος Διὶ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν·
Hephaestus to-Zeus gave to-bear for rout of-men
τὴν ἄρ' ὅ γ' ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν.
it then he indeed in hands holding led the-hosts
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες, ὦρτο δ' ἀϋτὴ
the-Argives and awaited thronging rose and the-cry
ὀξεῖ' ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ' ὀϊστοὶ
shrill on-both-sides from the-strings and arrows
θρῴσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν
leapt many and spears bold from hands
ἄλλα μὲν ἐν χροΐ πήγνυτ' ἀρηϊθόων αἰζηῶν,
some indeed in flesh stuck of-swift-in-war young-men

πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν
many and also between before the-flesh white to-reach
ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι.
in the-earth stood longing with-flesh to-glut-themselves
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ᾽ ἀτρέμα Φοῖβος Ἀπόλλων,
while indeed the-aegis in-hands held still Phoebus Apollo
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἥπτετο, πῖπτε δὲ λαός.
so-long very of-both the-missiles struck fell and the-host
320 αὐτὰρ ἐπεὶ κατ᾽ ἐνῶπα ἰδὼν Δαναῶν ταχυπώλων
but when in the-face looking of-the-Danaans with-swift-horses
σεῖσ᾽, ἐπὶ δ᾽ αὐτὸς ἄϋσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
he-shook-it on and himself shouted very loudly them and the-heart
ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς.
in breast he-charmed forgot and of-furious courage
οἱ δ᾽ ὥς τ᾽ ἠὲ βοῶν ἀγέλην ἢ πῶϋ μέγ᾽ οἰῶν
they and as — either of-cattle a-herd or a-flock great of-sheep
θῆρε δύω κλονέωσι μελαίνης νυκτὸς ἀμολγῷ,
beasts two rout of-black night in-the-milking-time
325 ἐλθόντ᾽ ἐξαπίνης σημάντορος οὐ παρεόντος,
coming suddenly the-herdsman not being-present
ὣς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
so were-routed the-Achaeans cowardly in for Apollo
ἧκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
sent rout to-the-Trojans but and to-Hector glory granted

The Trojans kill many Achaeans as they flee. Hector orders the Trojans to make for the ships and leave the spoils, threatening death to any who hang back. Apollo kicks the banks of the ditch into a causeway and knocks down the wall as easily as a child knocks down a sandcastle. Nestor prays to Zeus, who thunders. The Trojans swarm over the wall, and the Achaeans fight from the ships with long pikes. Patroclus leaves Eurypylus to urge Achilles to fight.

Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης.
Then and man took man scattered the-combat
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνε,
Hector indeed Stichius both and Arcesilaus slew
τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων,
the-one indeed of-the-Boeotians leader bronze-coated
τὸν δὲ Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον·
the-other and of-Menestheus great-hearted trusty comrade
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξεν.
Aeneas and Medon and Iasus slew
ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
truly the-one indeed bastard son of-Oïleus godlike
ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
was Medon of-Ajax brother but he-dwelt
ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς,
in Phylace the-land from native a-man having-killed
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
the-kinsman of-his-stepmother Eriopis whom had Oïleus
Ἴασος αὖτ' ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
Iasus in-turn leader indeed of-the-Athenians had-been
υἱὸς δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο.
son and of-Sphelus was-called of-the-son-of-Bucolus

Μηκιστῆ δ' ἕλε Πουλυδάμας, Ἐχίον δὲ Πολίτης
Mecisteus and took Polydamas Echius and Polites
πρώτῃ ἐν ὑσμίνῃ, Κλονίον δ' ἕλε δῖος Ἀγήνωρ.
front in combat Clonius and took noble Agenor
Δηΐοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθε
Deïochus and Paris hit lowest the-shoulder from-behind
φεύγοντ' ἐν προμάχοισι, διαπρὸ δὲ χαλκὸν ἔλασσεν.
fleeing among the-champions right-through and bronze drove
Ὄφρ' οἱ τοὺς ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ
While they them stripped of arms so-long and the-Achaeans
τάφρῳ καὶ σκολόπεσσιν ἐνιπλήξαντες ὀρυκτῇ
into-the-ditch and stakes hurled dug
ἔνθα καὶ ἔνθα φέβοντο, δύοντο δὲ τεῖχος ἀνάγκῃ.
this-way and that fled went and the-wall by-necessity
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Hector and to-the-Trojans called loudly shouting
"νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·
the-ships to-rush-at to-let-be and the-spoils bloody
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
whom and — I apart from-the-ships on-the-other-side notice
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδέ νυ τόν γε
there for-him death I-will-devise nor now him indeed
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
kinsmen both kinswomen and of-fire shall-give-a-share dead
ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο."
but dogs will-tear before town our

Ὣς εἰπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
So having-spoken with-the-whip from-the-shoulder he-drove the-horses
κεκλόμενος Τρώεσσι κατὰ στίχας· οἱ δὲ σὺν αὐτῷ
calling to-the-Trojans through the-ranks they and with him
πάντες ὁμοκλήσαντες ἔχον ἐρυσάρματας ἵππους
all shouting-together drove the-chariot-drawing horses
ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
with-a-din wondrous before and Phoebus Apollo
ῥεῖ᾽ ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
easily the-banks of-the-ditch deep with-feet throwing-down
ἐς μέσσον κατέβαλλε, γεφύρωσεν δὲ κέλευθον
into the-middle cast(-them) bridged and a-path
μακρὴν ἠδ᾽ εὐρεῖαν, ὅσον τ᾽ ἐπὶ δουρὸς ἐρωὴ
long and wide as-far-as — over of-a-spear the-cast
γίγνεται, ὁππότ᾽ ἀνὴρ σθένεος πειρώμενος ᾗσι.
reaches when a-man of-strength trying his-own
τῇ ῥ᾽ οἵ γε προχέοντο φαλαγγηδόν, πρὸ δ᾽ Ἀπόλλων
there then they indeed poured-forward in-battalions before and Apollo
αἰγίδ᾽ ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
the-aegis holding precious threw-down and the-wall of-the-Achaeans
ῥεῖα μάλ᾽, ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης,
easily very as when some sand a-child near the-sea
ὅς τ᾽ ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν,
who — when then he-makes playthings in-childishness
ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.
back again scatters with-feet and hands playing
ὣς ῥα σύ, ἤϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν
so then you archer Phoebus the-great toil and misery
σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσας.
having-scattered of-the-Argives in-them and panic you-roused

Ὣς οἱ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
So they indeed by the-ships were-held-back staying
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
each-other and calling and to-all the-gods
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος·
hands holding-up loudly prayed each
Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
Nestor again most Gerenian guardian of-the-Achaeans
εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
prayed hand stretching to heaven starry
"Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεΐ περ πολυπύρῳ
Zeus father if ever any to-you in Argos indeed wheat-rich
ἢ βοὸς ἢ οἰὸς κατὰ πίονα μηρία καίων
either of-ox or of-sheep down fat thigh-pieces burning
εὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας,
prayed to-return you and promised and nodded-assent
τῶν μνῆσαι καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ,
of-these remember and ward-off Olympian the-pitiless day
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς."
nor so by-the-Trojans let to-be-subdued the-Achaeans
Ὣς ἔφατ' εὐχόμενος, μέγα δ' ἔκτυπε μητίετα Ζεύς,
So he-spoke praying loudly and thundered counselor Zeus
ἀράων ἀΐων Νηληϊάδαο γέροντος.
the-prayers hearing of-the-son-of-Neleus old-man
Τρῶες δ' ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο,
the-Trojans and when they-heard of-Zeus the-thunder aegis-bearing
μᾶλλον ἐπ' Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης.
more on the-Argives leapt remembered and the-fight

οἱ δ' ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
they and as — a-great wave of-the-sea wide-wayed
νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ' ἐπείγῃ
of-a-ship over the-sides comes-down when presses
ἶς ἀνέμου· ἡ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει·
the-force of-the-wind it for — most indeed the-waves swells
ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον,
so the-Trojans with-great clamor over the-wall went
ἵππους δ' εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχοντο
the-horses and driving-in at the-sterns fought
ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδόν, οἱ μὲν ἀφ' ἵππων,
with-spears double-pointed at-close-quarters they indeed from horses
οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες
the-others and from the-ships high black having-mounted
μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
with-long poles which then for-them on the-ships lay
ναύμαχα κολλήεντα, κατὰ στόμα εἰμένα χαλκῷ.
for-sea-fight jointed at the-tip clad with-bronze
Πάτροκλος δ' ἧος μὲν Ἀχαιοί τε Τρῶές τε
Patroclus and while indeed the-Achaeans both the-Trojans and
τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
the-wall fought-about the-swift outside the-ships
τόφρ' ὅ γ' ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
so-long he indeed in the-hut of-courteous Eurypylus
ἧστό τε καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ' ἕλκεϊ λυγρῷ
sat both and him delighted with-words on and the-wound grievous
φάρμακ' ἀκέσματ' ἔπασσε μελαινάων ὀδυνάων.
drugs healing sprinkled of-black pains

αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησε
but when indeed the-wall rushing-at he-saw
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
the-Trojans but of-the-Danaans arose clamor both rout and
ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὣ πεπλήγετο μηρὼ
groaned and so thereafter and his struck thighs
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
with-hands flat lamenting and word spoke
"Εὐρύπυλ', οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπης
Eurypylus no-longer for-you can-I needing though nevertheless
ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
here stay-by indeed for great strife has-arisen
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἔγωγε
but you indeed the-attendant let-cheer but I-indeed
σπεύσομαι εἰς Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
will-hasten to Achilles that I-may-rouse(-him) to-fight
τίς δ' οἶδ' εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίνω
who and knows if — for-him with a-god the-heart I-may-stir
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου."
persuading good and the-persuasion is of-a-comrade

The two armies are evenly matched, like a carpenter's line. Hector and Ajax fight over a single ship. Ajax kills Caletor, and Hector kills Lycophron. Teucer shoots Cleitus, Polydamas' charioteer, but when he aims at Hector, Zeus snaps his bowstring. Ajax tells him to take a spear and fight. Hector sees Zeus at work and tells the Trojans that a man who dies for his country leaves his family and home safe.

Τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Him indeed then so having-spoken the-feet carried but the-Achaeans
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδὲ δύναντο
the-Trojans coming-on awaited steadfastly nor were-able
παυροτέρους περ ἐόντας ἀπώσασθαι παρὰ νηῶν·
fewer though being thrust-them from the-ships
οὐδέ ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
nor ever the-Trojans of-the-Danaans could the-battalions
ῥηξάμενοι κλισίῃσι μιγήμεναι ἠδὲ νέεσσιν.
breaking into-the-huts mingle and the-ships
ἀλλ' ὥς τε στάθμη δόρυ νηΐιον ἐξιθύνει
but as — a-chalk-line the-timber ship's makes-straight
τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης
of-a-carpenter in the-hands skilled who then — all
εὖ εἰδῇ σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,
well knows of-craft by-the-promptings of-Athena
ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε·
so indeed of-them on equal the-battle was-strained war and
ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν,
others and about other battle fought ships
Ἕκτωρ δ' ἄντ' Αἴαντος ἐείσατο κυδαλίμοιο.
Hector and against Ajax went glorious

τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδὲ δύναντο
they-two and one about ship held the-toil nor could
οὔθ' ὁ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆα
neither the-one him drive-off and burn with-fire the-ship
οὔθ' ὁ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
nor the-other him back thrust since then had-brought-him-near indeed a-divinity
ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας,
there the-son of-Clytius Caletor glorious Ajax
πῦρ ἐς νῆα φέροντα κατὰ στῆθος βάλε δουρί·
fire to the-ship carrying on the-chest hit with-the-spear
δούπησεν δὲ πεσών, δαλὸς δέ οἱ ἔκπεσε χειρός.
he-thudded and falling the-brand and from-him fell from-the-hand
Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
Hector and when he-saw his-cousin with-his-eyes
ἐν κονίῃσι πεσόντα νεὸς προπάροιθε μελαίνης,
in the-dust fallen the-ship before black
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
to-the-Trojans both and to-the-Lycians called loudly shouting
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
Trojans and Lycians and Dardanians close-fighters
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε,
not indeed yet give-way from-battle in strait this
ἀλλ' υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
but the-son of-Clytius save lest him the-Achaeans
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα."
the-arms strip of-the-ships in the-gathering fallen
Ὣς εἰπὼν Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ.
So having-spoken at-Ajax threw with-spear shining
τοῦ μὲν ἅμαρθ', ὁ δ' ἔπειτα Λυκόφρονα, Μάστορος υἱόν,
him indeed missed he and then Lycophron of-Mastor son

Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
of-Ajax attendant Cytherian who then with him
ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι,
dwelt since a-man he-killed in-Cythera sacred
τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέϊ χαλκῷ,
him then he-hit the-head above the-ear with-sharp bronze
ἑσταότ' ἄγχ' Αἴαντος· ὁ δ' ὕπτιος ἐν κονίῃσι
standing near Ajax he and backward in the-dust
νηὸς ἄπο πρύμνης χαμάδις πέσε, λύντο δὲ γυῖα.
the-ship from stern to-the-ground fell were-loosed and limbs
Αἴας δὲ ῥίγησε, κασίγνητον δὲ προσηύδα·
Ajax and shuddered his-brother and addressed
"Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Teucer friend indeed for-us-two has-been-killed the-trusty comrade
Μαστορίδης, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα
son-of-Mastor whom we-two from-Cythera at-home being
ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·
equally with-our-dear parents honored in the-halls
τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ
him and Hector great-hearted has-killed where now your arrows
ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;"
swift-dooming and bow which to-you gave Phoebus Apollo
Ὣς φάθ', ὁ δὲ ξυνέηκε, θέων δέ οἱ ἄγχι παρέστη,
So he-spoke he and understood running and him near stood
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
the-bow holding in hand back-bent and quiver
ἰοδόκον· μάλα δ' ὦκα βέλεα Τρώεσσιν ἐφίει.
arrow-holding very and quickly darts at-the-Trojans sent
καί ῥ' ἔβαλε Κλεῖτον, Πεισήνορος ἀγλαὸν υἱόν,
and then hit Cleitus of-Peisenor the-glorious son

Πουλυδάμαντος ἑταῖρον, ἀγαυοῦ Πανθοΐδαο,
of-Polydamas comrade of-lordly son-of-Panthous
ἡνία χερσὶν ἔχοντα· ὁ μὲν πεπόνητο καθ' ἵππους·
the-reins in-hands holding he indeed was-busy with the-horses
τῇ γὰρ ἔχ' ᾗ ῥα πολὺ πλεῖσται κλονέοντο φάλαγγες
there for he-drove where then much most were-routed the-battalions
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
to-Hector and the-Trojans showing-favor soon and to-him
ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
came evil which him not any warded-off eager though
αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός·
in-the-neck for his behind grievous fell the-arrow
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
he-fell and from the-chariot shied and his horses
κείν' ὄχεα κροτέοντες. ἄναξ δ' ἐνόησε τάχιστα
the-empty chariot rattling the-lord and noticed soonest
Πουλυδάμας, καὶ πρῶτος ἐναντίος ἦλυθεν ἵππων.
Polydamas and first facing came the-horses
τοὺς μὲν ὅ γ' Ἀστυνόῳ Προτιάονος υἱέϊ δῶκε,
them indeed he indeed to-Astynous of-Protiaon son gave
πολλὰ δ' ἐπότρυνε σχεδὸν ἴσχειν εἰσορόωντα
much and he-urged near to-hold watching
ἵππους· αὐτὸς δ' αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
the-horses himself and back going with-the-champions mingled
Τεῦκρος δ' ἄλλον ὀϊστὸν ἐφ' Ἕκτορι χαλκοκορυστῇ
Teucer and another arrow at Hector bronze-helmeted
αἴνυτο, καί κεν ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν,
took and — would-have-stopped(-him) from-battle at the-ships of-the-Achaeans
εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν.
if him being-best hitting he-had-taken-away his-life

ἀλλ᾽ οὐ λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ᾽ ἐφύλασσεν
but not escaped of-Zeus the-shrewd mind who then guarded
Ἕκτορ᾽, ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα,
Hector but Teucer Telamonian of-glory deprived
ὅς οἱ ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
who for-him the-well-twisted string on blameless bow
ῥῆξ᾽ ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ
broke upon him drawing went-astray and for-him elsewhere
ἰὸς χαλκοβαρής, τόξον δέ οἱ ἔκπεσε χειρός.
the-arrow bronze-weighted the-bow and from-him fell from-the-hand
Τεῦκρος δ᾽ ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
Teucer and shuddered his-brother and addressed
“ὦ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
oh for-shame truly indeed altogether of-battle off the-plans cuts
δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρός,
a-divinity our who — for-me the-bow cast from-the-hand
νευρὴν δ᾽ ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα
the-string and broke newly-twisted which I-bound-on
πρωΐϊον, ὄφρ᾽ ἀνέχοιτο θαμὰ θρῴσκοντας ὀϊστούς.”
early that it-might-hold-up thick leaping arrows
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας Τελαμώνιος Αἴας·
Him and answered then great Telamonian Ajax
“ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
O friend but the-bow indeed let and the-thick arrows
κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς Δαναοῖσι μεγήρας·
lie since confounded-them a-god the-Danaans begrudging
αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκος ὤμῳ
but in-hands taking a-long spear and a-shield on-the-shoulder
μάρναό τε Τρώεσσι καὶ ἄλλους ὄρνυθι λαούς.
fight both the-Trojans and others rouse the-hosts

μὴ μὰν ἀσπουδί γε δαμασσάμενοί περ ἕλοιεν
not indeed without-effort indeed having-subdued-us though let-them-take
νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης."
the-ships well-benched but let-us-remember the-fight
Ὣς φάθ', ὁ δ' αὖ τόξον μὲν ἐνὶ κλισίῃσιν ἔθηκεν,
So he-spoke he and in-turn the-bow indeed in the-huts put
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον,
but he indeed about shoulders a-shield put four-layered
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
head and on mighty a-helmet well-made put
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
horsehair-crested dreadfully and the-plume above nodded
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
he-took and valiant spear sharpened with-sharp bronze
βῆ δ' ἰέναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
went and to-go very and quickly running by-Ajax stood
Ἕκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,
Hector and when he-saw of-Teucer thwarted the-arrows
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
to-the-Trojans both and to-the-Lycians called loudly shouting
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
Trojans and Lycians and Dardanians close-fighters
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς
men be friends be-mindful and of-furious courage
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
the-ships among hollow indeed for I-saw with-eyes
ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
of-a-man best by-Zeus thwarted the-arrows
ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίγνεται ἀλκή,
easily and recognizable of-Zeus to-men is the-help

ἠμὲν ὀτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
both to-whom glory higher he-grants
ἠδ' ὅτινας μινύθῃ τε καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν,
and whom he-diminishes both and not wishes to-help
ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ' ἀρήγει.
as now of-the-Argives he-diminishes the-might us and helps
ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες· ὃς δέ κεν ὑμέων
but fight at the-ships thronging who and — of-you
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
hit or struck death and fate meets
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
let-him-die not for-him unseemly defending for the-fatherland
τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
to-die but wife both safe and children after
καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ
and house and lot unharmed if — the-Achaeans
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν."
go with ships dear to native land

XV.7 · FIGHTING AT THE SHIPS

Ajax warns that it is better to die or live at once than waste away. Leaders fall on both sides; Menelaus kills Dolops from behind. Hector rebukes Melanippus, Ajax says men who feel shame are more often saved, and Menelaus urges Antilochus on.

Ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken he-roused the-might and spirit of-each
Αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
Ajax and in-turn on-the-other-side called his comrades

"αἰδώς, Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι
shame Argives now it-is-sure either to-perish
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
or to-be-saved and to-thrust-back evil from-the-ships
ἦ ἔλπεσθ', ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ,
truly do-you-hope if the-ships takes helmet-flashing Hector
ἐμβαδὸν ἴξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;
on-foot to-reach his native land each
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
truly not urging do-you-hear the-host all
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει;
of-Hector who indeed the-ships to-burn is-eager
οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
not indeed to indeed a-dance he-bids to-come but to-fight
ἡμῖν δ' οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων,
for-us and not any than-this mind and counsel better
ἢ αὐτοσχεδίῃ μεῖξαι χεῖράς τε μένος τε.
than at-close-quarters to-mingle hands both might and
βέλτερον, ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι,
better either to-perish at-one time or to-live
ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι
than long to-be-worn-out in dread combat
ὧδ' αὔτως παρὰ νηυσὶν ὑπ' ἀνδράσι χειροτέροισιν."
thus idly by the-ships by men worse
Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken he-roused the-might and spirit of-each
ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεος υἱόν,
there Hector indeed took Schedius of-Perimedes son

ἀρχὸν Φωκήων, Αἴας δ' ἕλε Λαοδάμαντα
leader of-the-Phocians Ajax and took Laodamas
ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
leader of-the-foot-soldiers of-Antenor glorious son
Πουλυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξε,
Polydamas and Otus of-Cyllene slew
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
of-the-son-of-Phyleus comrade great-hearted leader of-the-Epeans
τῷ δὲ Μέγης ἐπόρουσεν ἰδών· ὁ δ' ὕπαιθα λιάσθη
at-him and Meges leapt seeing he and from-under slipped-aside
Πουλυδάμας· καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ Ἀπόλλων
Polydamas and him indeed he-missed not for Apollo
εἴα Πάνθου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι·
allowed of-Panthous the-son among the-champions to-be-subdued
αὐτὰρ ὅ γε Κροίσμου στῆθος μέσον οὔτασε δουρί.
but he indeed of-Croesmus the-breast middle wounded with-the-spear
δούπησεν δὲ πεσών· ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
he-thudded and falling he and from shoulders the-arms stripped
τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ, αἰχμῆς ἐῢ εἰδώς,
so-long and at-him leapt Dolops of-the-spear well knowing
Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο φέρτατον υἱόν,
son-of-Lampus whom Lampus begot bravest son
Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς,
son-of-Laomedon well knowing of-furious courage
ὃς τότε Φυλείδαο μέσον σάκος οὔτασε δουρὶ
who then of-the-son-of-Phyleus the-middle shield wounded with-the-spear
ἐγγύθεν ὁρμηθείς· πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,
near rushing close and him warded-off the-corselet

τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς
which then he-wore with-plates fitted which once Phyleus
ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἄπο Σελλήεντος.
brought from Ephyre river from Selleïs
ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης
a-guest for to-him gave lord of-men Euphetes
ἐς πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν·
into war to-wear of-hostile men a-defense
ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
which for-him also then of-the-son from the-flesh warded-off destruction
τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
of-him and Meges of-the-helmet bronze-fitted horsehair-plumed
κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
the-crest topmost stabbed with-spear sharp
ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
broke and off the-horsehair plume of-it all and to-the-ground
κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός.
fell in the-dust newly with-purple shining
ἦος ὁ τῷ πολέμιζε μένων, ἔτι δ' ἔλπετο νίκην,
while he with-him fought staying still and hoped-for victory
τόφρα δέ οἱ Μενέλαος ἀρήϊος ἦλθεν ἀμύντωρ,
so-long and to-him Menelaus warlike came as-defender
στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθών, βάλε δ' ὦμον ὄπισθεν·
stood and aside with spear unseen he-hit and the-shoulder from-behind
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα,
the-point and through-the-breast rushed eager
πρόσσω ἰεμένη· ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.
forward pressing he and then headlong sank

τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε᾽ ἀπ᾽ ὤμων
the-two indeed rushed the-bronze arms from shoulders
συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευσε
to-strip Hector and his-kinsmen bade
πᾶσι μάλα, πρῶτον δ᾽ Ἰκεταονίδην ἐνένιπεν
all very first and the-son-of-Hicetaon he-rebuked
ἴφθιμον Μελάνιππον. ὁ δ᾽ ὄφρα μὲν εἰλίποδας βοῦς
mighty Melanippus he and while indeed shambling cattle
βόσκ᾽ ἐν Περκώτῃ, δηΐων ἀπονόσφιν ἐόντων·
grazed in Percote the-foes far-away being
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
but when of-the-Danaans the-ships came curved
ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
back to Ilium he-came was-conspicuous and among-the-Trojans
ναῖε δὲ πὰρ Πριάμῳ, ὁ δέ μιν τίεν ἶσα τέκεσσι·
he-dwelt and with Priam he and him honored equally with-his-children
τόν ῥ᾽ Ἕκτωρ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
him then Hector rebuked word and spoke out and named(-him)
“οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νυ σοί περ
so indeed Melanippus shall-we-slacken nor now for-you indeed
ἐντρέπεται φίλον ἦτορ ἀνεψιοῦ κταμένοιο;
is-moved dear heart for-your-cousin slain
οὐχ ὁράᾳς οἷον Δόλοπος περὶ τεύχε᾽ ἔπουσιν;
not do-you-see how of-Dolops about arms they-busy
ἀλλ᾽ ἕπευ· οὐ γὰρ ἔτ᾽ ἔστιν ἀποσταδὸν Ἀργείοισι
but follow not for any-longer is-it-possible standing-apart with-the-Argives
μάρνασθαι, πρίν γ᾽ ἠὲ κατακτάμεν ἠὲ κατ᾽ ἄκρης
to-fight before indeed either to-kill(-them) or from the-top
Ἴλιον αἰπεινὴν ἑλέειν κτάσθαι τε πολίτας.”
Ilium steep to-take to-be-slain and the-citizens

Ὣς εἰπὼν ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς·
So having-spoken he indeed led he and with followed godlike man
Ἀργείους δ' ὄτρυνε μέγας Τελαμώνιος Αἴας·
the-Argives and roused great Telamonian Ajax
"ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδὼ θέσθ' ἐνὶ θυμῷ,
O friends men be and shame put in heart
ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.
each-other and feel-shame-before in mighty combats
αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
feeling-shame and of-men more saved than are-slain
φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή."
of-those-fleeing and neither then glory arises nor any defense
Ὣς ἔφαθ', οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον,
So he-spoke they and also themselves to-defend were-eager
ἐν θυμῷ δ' ἐβάλοντο ἔπος, φράξαντο δὲ νῆας
in heart and they-laid-up the-word they-fenced and the-ships
ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν.
with-a-wall bronze against and Zeus the-Trojans roused
Ἀντίλοχον δ' ὄτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
Antilochus and roused at-the-war-cry good Menelaus
" Ἀντίλοχ', οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν,
Antilochus not any than-you younger other of-the-Achaeans
οὔτε ποσὶν θάσσων οὔτ' ἄλκιμος ὡς σὺ μάχεσθαι·
nor in-feet swifter nor valiant as you to-fight
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα."
if any somewhere of-the-Trojans leaping-out a-man you-might-hit

Antilochus kills Melanippus, but flees before Hector like a beast that has killed a dog. The Trojans rush at the ships like lions and fulfill Zeus's commands, for he waits to see a ship burn before he turns the battle. Hector rages like Ares, foaming at the mouth, but the Achaeans stand like a sea cliff. He falls on them like a wave breaking over a ship and kills Periphetes of Mycenae, who trips on his shield. Nestor begs the Achaeans to stand for the sake of their families.

Ὣς εἰπὼν ὁ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνεν·
So having-spoken he indeed back rushed-away him and he-roused
ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῷ
out and he-leapt from-the-champions and threw with-spear shining
ἀμφὶ ἓ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο
around himself peering under and the-Trojans gave-way
ἀνδρὸς ἀκοντίσσαντος· ὁ δ' οὐχ ἅλιον βέλος ἧκεν,
the-man hurling he and not vain the-dart sent
ἀλλ' Ἱκετάονος υἱόν, ὑπέρθυμον Μελάνιππον,
but of-Hicetaon the-son high-spirited Melanippus
νισόμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν.
going to-war he-hit the-breast beside the-nipple
δούπησεν δὲ πεσών, τὸν δὲ σκότος ὄσσε κάλυψεν.
he-thudded and falling him and darkness the-eyes covered
Ἀντίλοχος δ' ἐπόρουσε κύων ὥς, ὅς τ' ἐπὶ νεβρῷ
Antilochus and leapt-on a-hound like which — on a-fawn
βλημένῳ ἀΐξῃ, τόν τ' ἐξ εὐνῆφι θορόντα
wounded darts which — out-of its-lair leaping
θηρητὴρ ἐτύχησε βαλών, ὑπέλυσε δὲ γυῖα·
a-hunter has-struck hitting has-loosed and limbs

ὣς ἐπὶ σοί, Μελάνιππε, θόρ' Ἀντίλοχος μενεχάρμης
so at you Melanippus leapt Antilochus steadfast-in-battle
τεύχεα συλήσων· ἀλλ' οὐ λάθεν Ἕκτορα δῖον,
the-arms to-strip but not escaped Hector noble
ὅς ῥά οἱ ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα.
who then him against came running through the-combat
Ἀντίλοχος δ' οὐ μεῖνε θοός περ ἐὼν πολεμιστής,
Antilochus and not stayed swift though being a-warrior
ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ἐοικώς,
but he indeed then fled to-a-beast evil having-done like
ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσι
which — a-dog having-killed or a-herdsman around the-cattle
φεύγει πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν·
flees before indeed a-throng to-be-gathered of-men
ὣς τρέσε Νεστορίδης, ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
so fled the-son-of-Nestor after and the-Trojans both and Hector
ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο·
with-a-din wondrous missiles grievous poured
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἕθνος ἑταίρων.
stood and turning-about when he-reached the-band of-comrades
Τρῶες δὲ λείουσιν ἐοικότες ὠμοφάγοισι
the-Trojans and to-lions like raw-eating
νηυσὶν ἐπεσσεύοντο, Διὸς δὲ τέλειον ἐφετμάς,
the-ships rushed-at of-Zeus and fulfilled the-commands
ὅ σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμὸν
who in-them always roused might great charmed and the-heart
Ἀργείων καὶ κῦδος ἀπαίνυτο, τοὺς δ' ὀρόθυνεν.
of-the-Argives and glory took-away them and he-roused

Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
to-Hector for his heart wished glory to-grant
Πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
son-of-Priam that on-the-ships curved wondrous fire
ἐμβάλοι ἀκάματον, Θέτιδος δ' ἐξαίσιον ἀρὴν
he-might-cast untiring of-Thetis and the-excessive prayer
πᾶσαν ἐπικρήνειε· τὸ γὰρ μένε μητίετα Ζεύς,
all he-might-fulfill this for awaited counselor Zeus
νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι.
of-a-ship burning the-glare with-eyes to-see
ἐκ γὰρ δὴ τοῦ μέλλε παλίωξιν παρὰ νηῶν
from for indeed then he-was-to a-rout-back from the-ships
θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξειν.
to-make of-the-Trojans to-the-Danaans and glory to-grant
τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν
this intending the-ships by hollow he-roused
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν.
Hector son-of-Priam very indeed eager even himself
μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ
he-raged and as when Ares spear-wielding or deadly fire
οὔρεσι μαίνηται, βαθέης ἐν τάρφεσιν ὕλης·
on-the-mountains rages deep in thickets of-wood

ἀφλοισμὸς δὲ περὶ στόμα γίγνετο, τὼ δέ οἱ ὄσσε
foam and around the-mouth arose the-two and his eyes
λαμπέσθην βλοσυρῇσιν ὑπ᾽ ὀφρύσιν, ἀμφὶ δὲ πήληξ
shone grim under brows around and the-helmet
σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο
terribly on-the-temples was-shaken as-he-fought
Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ᾽ αἰθέρος ἦεν ἀμύντωρ
Hector himself for for-him from the-upper-air was defender
Ζεύς, ὅς μιν πλεόνεσσι μετ᾽ ἀνδράσι μοῦνον ἐόντα
Zeus who him more among men alone being
τίμα καὶ κύδαινε. μινυνθάδιος γὰρ ἔμελλεν
honored and glorified short-lived for he-was-to
ἔσσεσθ᾽· ἤδη γάρ οἱ ἐπόρνυε μόρσιμον ἦμαρ
be already for for-him was-rousing the-fated day
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφιν.
Pallas Athena under of-the-son-of-Peleus the-might
καί ῥ᾽ ἔθελεν ῥῆξαι στίχας ἀνδρῶν πειρητίζων,
and then he-wished to-break the-ranks of-men testing
ᾗ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε᾽ ἄριστα·
where indeed the-greatest throng he-saw and arms best
ἀλλ᾽ οὐδ᾽ ὣς δύνατο ῥῆξαι μάλα περ μενεαίνων·
but not-even so could-he break very though eager
ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
they-held for tower-like fitted like a-rock
ἠλίβατος μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,
sheer great of-the-gray sea near being
ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
which — withstands of-shrill winds the-swift paths
κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
waves and swollen which — belch-against it

ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο.
so the-Danaans the-Trojans awaited steadfastly nor fled
αὐτὰρ ὁ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ᾽ ὁμίλῳ,
but he blazing with-fire on-all-sides leapt-on the-throng
ἐν δ᾽ ἔπεσ᾽ ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃσι
in and he-fell as when a-wave swift on ship falls
λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές· ἡ δέ τε πᾶσα
violent under clouds wind-nurtured she and — all
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
with-foam is-hidden of-the-wind and dread blast
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
in-the-sail roars tremble and — in-heart the-sailors
δειδιότες· τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται·
fearing a-little for out-of death are-carried
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
so was-torn the-heart in breast of-the-Achaeans
αὐτὰρ ὅ γ᾽ ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
but he indeed as — a-lion baleful-minded on-cattle coming
αἵ ῥά τ᾽ ἐν εἰαμενῇ ἕλεος μεγάλοιο νέμονται
which then — in a-meadow of-a-marsh great graze
μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔ πω σάφα εἰδὼς
countless among and — them a-herdsman not yet clearly knowing
θηρὶ μαχέσσασθαι ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
with-a-beast to-fight of-crumple-horned ox about the-slaughter

ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
truly he indeed with-the-first and last cows
αἰὲν ὁμοστιχάει, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρούσας
always keeps-pace he and — into the-middle leaping
βοῦν ἔδει, αἱ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ' Ἀχαιοὶ
a-cow devours they and — all fled so then the-Achaeans
θεσπεσίως ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρὶ
wondrously were-routed by Hector and Zeus father
πάντες, ὁ δ' οἷον ἔπεφνε Μυκηναῖον Περιφήτην,
all he and alone slew Mycenaean Periphetes
Κοπρῆος φίλον υἱόν, ὃς Εὐρυσθῆος ἄνακτος
of-Copreus dear son who of-Eurystheus lord
ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ.
the-message used-to-go to-the-might of-Heracles
τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἷὸς ἀμείνων
of-him was-born from father much worse a-son better
παντοίας ἀρετάς, ἠμὲν πόδας ἠδὲ μάχεσθαι,
in-all-kinds-of excellences both feet and to-fight
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
and mind among the-first of-the-Mycenaeans he-was
ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξε.
who then then to-Hector glory higher granted
στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγι πάλτο,
turning for backward on of-the-shield the-rim he-tripped
τὴν αὐτὸς φορέεσκε ποδηνεκέ', ἔρκος ἀκόντων·
which himself bore reaching-the-feet a-defense against-javelins
τῇ ὅ γ' ἐνὶ βλαφθεὶς πέσεν ὕπτιος, ἀμφὶ δὲ πήληξ
it he indeed on tripping fell backward around and the-helmet
σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος.
terribly rang about the-temples fallen

Ἕκτωρ δ᾽ ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,
Hector and sharply noticed running and him near stood
στήθεϊ δ᾽ ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων
the-breast and in the-spear he-fixed his-dear and him near comrades
κτεῖν᾽· οἱ δ᾽ οὐκ ἐδύναντο καὶ ἀχνύμενοί περ ἑταίρου
he-killed they and not could even grieving though for-their-comrade
χραισμεῖν· αὐτοὶ γὰρ μάλα δείδισαν Ἕκτορα δῖον.
help themselves for greatly feared Hector noble
Εἰσωποὶ δ᾽ ἐγένοντο νεῶν, περὶ δ᾽ ἔσχεθον ἄκραι
Facing and they-became the-ships around and held the-ends
νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ᾽ ἐπέχυντο.
the-ships as-many-as first were-drawn-up they and poured-in
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
the-Argives and from-the-ships indeed withdrew even by-necessity
τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν
the first there and by the-huts stayed
ἀθρόοι, οὐδὲ κέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼς
in-a-body nor were-scattered through the-army held for shame
καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι.
and fear ceaselessly for called-to each-other
Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
Nestor again most Gerenian guardian of-the-Achaeans
λίσσεθ᾽ ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον·
begged for parents imploring man each
“ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ᾽ ἐνὶ θυμῷ
O friends men be and shame put in heart
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστος
of-other men besides and be-mindful each
παίδων ἠδ᾽ ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων,
children and wives and possessions and parents

ἠμὲν ὅτεῳ ζώουσι καὶ ᾧ κατατεθνήκασι·
both for-whom live and for-whom have-died
τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων
them on-behalf-of here I implore not present
ἑστάμεναι κρατερῶς, μηδὲ τρωπᾶσθε φόβονδε."
to-stand mightily nor turn to-rout

XV.9 · AJAX DEFENDS THE SHIPS

Athena clears the mist from the Achaeans' eyes. Ajax strides from deck to deck with a pike of twenty-two cubits, like a rider leaping from horse to horse. Hector swoops like an eagle, and Zeus drives him on from behind. He grasps the stern of Protesilaus' ship and calls for fire, saying that Zeus has given them the day of days. Ajax falls back to a bench, tells the Danaans that their safety lies in their hands, and stabs twelve men who bring fire to the ships.

Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken he-roused the-might and spirit of-each
τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
for-them and from the-eyes the-cloud of-mist thrust Athena
θεσπέσιον· μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν,
wondrous greatly and for-them light arose on-both-sides
ἠμὲν πρὸς νηῶν καὶ ὁμοιΐου πολέμοιο.
both from the-ships and impartial war
Ἕκτορα δὲ φράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους,
Hector and they-perceived at-the-war-cry good and his-comrades
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδὲ μάχοντο,
both as-many-as behind stood-apart nor fought
ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν.
and as-many-as by the-ships battle fought swift

Οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἤνδανε θυμῷ
Nor then any-longer to-Ajax great-hearted was-it-pleasing in-heart
ἑστάμεν ἔνθα περ ἄλλοι ἀφέστασαν υἷες Ἀχαιῶν·
to-stand where indeed the-others stood-apart the-sons of-the-Achaeans
ἀλλ' ὅ γε νηῶν ἴκρι' ἐπῴχετο μακρὰ βιβάσθων,
but he indeed of-the-ships the-decks paced long striding
νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσι,
he-wielded and a-pike great for-sea-fight in hands
κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
joined with-rings twenty-two-cubits-long
ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν ἐὺ εἰδώς,
as and when a-man with-horses to-ride well knowing
ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναείρεται ἵππους,
who — when from many four he-has-yoked-together horses
σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ δίηται
driving from the-plain greatly toward the-town speeds
λαοφόρον καθ' ὁδόν· πολέες τέ ἑ θηήσαντο
the-public along road many and him gaze-at
ἀνέρες ἠδὲ γυναῖκες· ὁ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
men and women he and steadily safely always
θρῴσκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται, οἱ δὲ πέτονται·
leaping at-one-time onto another changes they and fly
ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
so Ajax over many of-the-swift decks ships
φοίτα μακρὰ βιβάς, φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν,
went-to-and-fro long striding the-voice and his to-the-upper-air reached

αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε
always and terribly shouting to-the-Danaans he-called
νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. οὐδὲ μὲν Ἕκτωρ
the-ships both and huts to-defend nor indeed Hector
μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·
stayed in of-the-Trojans the-throng closely corseleted
ἀλλ᾽ ὥς τ᾽ ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων
but as — of-birds winged an-eagle tawny
ἔθνος ἐφορμᾶται ποταμὸν πάρα βοσκομενάων,
the-flock swoops-on river beside feeding
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
of-geese or of-cranes or of-swans long-necked
ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρῴροιο
so Hector charged-straight at-a-ship dark-prowed
ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦσεν ὄπισθε
facing darting him and Zeus thrust from-behind
χειρὶ μάλα μεγάλῃ, ὄτρυνε δὲ λαὸν ἅμ᾽ αὐτῷ.
with-hand very great he-roused and the-host with him
Αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη·
Again and bitter battle by the-ships arose
φαίης κ᾽ ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
you-would-say — unwearied and untiring each-other
ἄντεσθ᾽ ἐν πολέμῳ, ὡς ἐσσυμένως ἐμάχοντο.
to-meet in war so eagerly they-fought
τοῖσι δὲ μαρναμένοισιν ὅδ᾽ ἦν νόος· ἤτοι Ἀχαιοὶ
for-them and fighting this was the-mind truly the-Achaeans
οὐκ ἔφασαν φεύξεσθαι ὑπὲκ κακοῦ, ἀλλ᾽ ὀλέεσθαι,
not thought to-escape out-of evil but to-perish

Τρωσὶν δ' ἔλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου
to-the-Trojans and hoped the-heart in breast of-each
νῆας ἐνιπρήσειν κτενέειν θ' ἥρωας Ἀχαιούς.
the-ships to-burn to-kill and the-heroes Achaean
οἱ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν·
they indeed these-things intending stood-against each-other
Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο,
Hector and the-stern of-the-ship grasped seafaring
καλῆς ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν
fair swift-sailing which Protesilaus carried
ἐς Τροίην, οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν.
to Troy nor back brought-home to-native land
τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
that very indeed around ship the-Achaeans both the-Trojans and
δῄουν ἀλλήλους αὐτοσχεδόν· οὐδ' ἄρα τοί γε
slew each-other at-close-quarters nor then they indeed
τόξων ἀϊκὰς ἀμφὶς μένον οὐδ' ἔτ' ἀκόντων,
of-bows the-rush apart awaited nor any-longer of-javelins
ἀλλ' οἵ γ' ἐγγύθεν ἱστάμενοι, ἕνα θυμὸν ἔχοντες,
but they indeed near standing one spirit having
ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο
with-sharp indeed axes and hatchets fought
καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισι.
and with-swords great and spears double-pointed
πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα
many and swords fair black-bound hilted
ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων
some indeed from hands to-the-ground fell others and from shoulders
ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
of-men fighting flowed and with-blood the-earth black

Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν οὐχὶ μεθίει,
Hector and from-the-stern when he-grasped not let-go
ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δὲ κέλευεν·
the-stern-post in hands holding to-the-Trojans and called
"οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν·
bring fire together and yourselves thronging raise the-war-cry
νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
now to-us of-all Zeus worth a-day has-given
νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι
the-ships to-take which hither of-the-gods against-the-will coming
ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων,
to-us woes many brought through-the-cowardice of-the-elders
οἵ μ' ἐθέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν
who me wishing to-fight at the-sterns ships
αὐτόν τ' ἰσχανάασκον ἐρητύοντό τε λαόν·
myself and held-back restrained and the-host
ἀλλ' εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεὺς
but if indeed then then harmed the-wits far-seeing Zeus
ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει."
our now himself urges and bids
Ὣς ἔφαθ', οἱ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν.
So he-spoke they and then more on the-Argives rushed
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσιν·
Ajax and no-longer stayed he-was-pressed for by-missiles
ἀλλ' ἀνεχάζετο τυτθόν, ὀϊόμενος θανέεσθαι,
but gave-way a-little thinking to-die
θρῆνυν ἐφ' ἑπταπόδην, λίπε δ' ἴκρια νηὸς ἐΐσης.
to-the-bench on seven-foot left and the-decks of-the-ship balanced

ἔνθ᾽ ἄρ᾽ ὅ γ᾽ ἑστήκει δεδοκημένος, ἔγχεϊ δ᾽ αἰεὶ
there then he indeed stood watching with-spear and always
Τρῶας ἄμυνε νεῶν, ὅς τις φέροι ἀκάματον πῦρ·
the-Trojans warded-off from-the-ships whoever any carried untiring fire
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε·
always and terribly shouting to-the-Danaans he-called
"ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
O friends heroes Danaans attendants of-Ares
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
men be friends be-mindful and of-furious courage
ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω,
or some do-we-say to-be helpers behind
ἦέ τι τεῖχος ἄρειον, ὅ κ᾽ ἀνδράσι λοιγὸν ἀμύναι;
or some wall stronger which — from-men ruin might-ward-off
οὐ μέν τι σχεδόν ἐστι πόλις πύργοις ἀραρυῖα,
not indeed at-all near is a-city with-towers fitted
ἦ κ᾽ ἀπαμυναίμεσθ᾽ ἑτεραλκέα δῆμον ἔχοντες·
where — we-might-defend-ourselves battle-turning people having
ἀλλ᾽ ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων
but in for of-the-Trojans the-plain closely corseleted
πόντῳ κεκλιμένοι ἑκὰς ἥμεθα πατρίδος αἴης·
on-the-sea leaning far we-sit from-native land
τῶ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο."
therefore in hands is-light not in-mildness of-war
Ἦ, καὶ μαιμώων ἔφεπ᾽ ἔγχεϊ ὀξυόεντι.
He-spoke and eagerly he-pursued with-spear sharp
ὅς τις δὲ Τρώων κοίλῃς ἐπὶ νηυσὶ φέροιτο
whoever any and of-the-Trojans hollow at ships rushed
σὺν πυρὶ κηλείῳ, χάριν Ἕκτορος ὀτρύναντος,
with fire burning for-the-sake of-Hector urging

745 τὸν δ' Αἴας οὔτασκε δεδεγμένος ἔγχεϊ μακρῷ·
him and Ajax wounded awaiting with-spear long
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὗτα.
twelve and before the-ships at-close-quarters he-wounded

BOOK XVI

XVI.1 · PATROCLUS' REQUEST

Patroclus comes to Achilles weeping like a spring. Achilles asks why he weeps like a little girl. Patroclus tells him the chiefs are wounded and calls him pitiless, born of the sea and rocks. He asks Achilles to send him out in his armor so the Trojans may take him for Achilles. Achilles still resents Agamemnon, but agrees. He tells Patroclus to drive the Trojans from the ships and return, and not to fight on toward Troy, lest a god take part.

Ὣς οἱ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο·
So they indeed around the-ship well-benched fought
Πάτροκλος δ' Ἀχιλῆϊ παρίστατο, ποιμένι λαῶν,
Patroclus and by-Achilles stood shepherd of-the-people
δάκρυα θερμὰ χέων ὥς τε κρήνη μελάνυδρος,
tears warm shedding as — a-spring of-dark-water
ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.
which — down goat-deserted rock dark pours water
τὸν δὲ ἰδὼν ὤκτιρε ποδάρκης δῖος Ἀχιλλεύς,
him and seeing pitied swift-footed noble Achilles
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"τίπτε δεδάκρυσαι, Πατρόκλεες, ἠΰτε κούρη
why are-you-in-tears Patroclus like a-girl
νηπίη, ἥ θ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,
little who — with her-mother running to-take-her-up bids
εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει,
the-dress clutching and — hurrying holds-back
δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται·
tearful and her looks-up-at until she-takes-her-up

τῇ ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
to-her like Patroclus tender down tear you-shed
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ,
or some to-the-Myrmidons do-you-declare or to-me myself
ἦέ τιν' ἀγγελίην Φθίης ἐξ ἔκλυες οἶος;
or some message from-Phthia from you-heard alone
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱόν,
alive indeed still they-say Menoetius of-Actor son
ζώει δ' Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσι,
lives and son-of-Aeacus Peleus among the-Myrmidons
τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
for-these — greatly both we-would-grieve dead
ἦε σύ γ' Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
or you indeed for-the-Argives lament how they-perish
νηυσὶν ἔπι γλαφυρῇσιν ὑπερβασίης ἕνεκα σφῆς;
the-ships by hollow transgression for their-own
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω."
speak-out not hide in-mind that we-may-know both
Τὸν δὲ βαρὺ στενάχων προσέφης, Πατρόκλεες ἱππεῦ·
Him and heavily groaning you-addressed Patroclus horseman
"ὦ Ἀχιλεῦ, Πηλῆος υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
O Achilles of-Peleus son far mightiest of-the-Achaeans
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
not be-indignant such for grief has-overpowered the-Achaeans
οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
those indeed for indeed all as-many-as before were best
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
in the-ships lie hit wounded and
βέβληται μὲν ὁ Τυδεΐδης κρατερὸς Διομήδης,
is-hit indeed the son-of-Tydeus mighty Diomedes

οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς ἠδ' Ἀγαμέμνων,
is-wounded and Odysseus spear-famed and Agamemnon
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ.
is-hit and also Eurypylus in the-thigh with-an-arrow
τοὺς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
them indeed — healers of-many-drugs tend
ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλευ, Ἀχιλλεῦ.
wounds healing you but unmanageable have-become Achilles
μὴ ἐμέ γ' οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις, 30
not me indeed then this indeed may-seize anger which you keep
αἰναρέτη· τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ,
cursed-in-valor how of-you another will-profit later-born though
αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
if — not from-the-Argives shameful ruin you-ward-off
νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς,
pitiless not then your indeed father was horseman Peleus
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα
nor Thetis mother the-gray and you bore sea
πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής. 35
rocks and sheer because your mind is harsh
εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις
if but some in-mind your oracle you-shun
καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
and some to-you from Zeus has-told queenly mother
ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
but me at-least send-forth quickly with and the-other host grant
Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι.
of-the-Myrmidons if somehow some light to-the-Danaans I-may-become
δὸς δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι, 40
grant and me on-the-shoulders the your arms to-arm-in

αἴ κ᾽ ἐμὲ σοὶ ἴσκοντες ἀπόσχωνται πολέμοιο
if — me to-you likening may-hold-off from-war
Τρῶες, ἀναπνεύσωσι δ᾽ ἀρήϊοι υἷες Ἀχαιῶν
the-Trojans may-take-breath and warlike sons of-the-Achaeans
τειρόμενοι· ὀλίγη δέ τ᾽ ἀνάπνευσις πολέμοιο.
worn-out little and — the-breathing-space of-war
ῥεῖα δέ κ᾽ ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ
easily and — fresh weary men with-the-war-cry
ὤσαιμεν προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
we-could-push to the-town the-ships from and the-huts
Ὣς φάτο λισσόμενος μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
So he-spoke begging great fool truly for he-was-to
οἱ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
for-himself himself death both evil and doom to-beg
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
him and greatly vexed addressed in-feet swift Achilles
"ὤ μοι, διογενὲς Πατρόκλεες, οἷον ἔειπες·
ah me Zeus-born Patroclus such-a-thing you-said
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα οἶδα,
neither for-an-oracle do-I-care which any I-know
οὔτε τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
nor any to-me from Zeus has-told queenly mother
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
but this dread grief the-heart and soul reaches
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι
when indeed the equal a-man wishes to-rob
καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκῃ·
and the-prize back to-take-away because — in-power he-excels
αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῷ.
dread grief this to-me is since I-suffered pains in-heart

κούρην ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
the-girl whom then for-me as-prize picked-out the-sons of-the-Achaeans
δουρὶ δ' ἐμῷ κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,
with-spear and my I-won a-city well-walled having-sacked
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
her back from hands took lord Agamemnon
Ἀτρεΐδης ὡς εἴ τιν' ἀτίμητον μετανάστην.
son-of-Atreus as if some dishonored vagrant
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πως ἦν
but these-things indeed to-be-past let-us-let nor then at-all was-it-possible
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἤτοι ἔφην γε
unceasingly to-be-angry in heart truly I-said indeed
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότ' ἂν δὴ
not before the-wrath to-stop but when — indeed
νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε πτόλεμός τε.
the-ships my reaches the-war-cry both war and
τύνη δ' ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
you but on-shoulders indeed my famous arms put-on
ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
lead and the-Myrmidons war-loving to-fight
εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε
if indeed a-dark of-the-Trojans cloud has-encompassed
νηυσὶν ἐπικρατέως, οἱ δὲ ῥηγμῖνι θαλάσσης
the-ships mightily they and at-the-breakers of-the-sea
κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
lean of-land small still portion having

Ἀργεῖοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε
the-Argives of-the-Trojans and the-city upon all has-come
θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
boldly not for of-my helmet they-see the-front
ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες ἐναύλους
near shining soon — fleeing the-water-courses
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
would-fill with-corpses if to-me lord Agamemnon
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
kindly were-disposed now but the-army they-fight-around
οὐ γὰρ Τυδεΐδεω Διομήδεος ἐν παλάμῃσι
not for of-the-son-of-Tydeus Diomedes in the-hands
μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
rages the-spear from-the-Danaans away ruin to-ward-off
οὐδέ πω Ἀτρεΐδεω ὀπὸς ἔκλυον αὐδήσαντος
nor yet of-the-son-of-Atreus the-voice have-I-heard shouting
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο
hateful from head but of-Hector man-slaying
Τρωσὶ κελεύοντος περιάγνυται, οἱ δ' ἀλαλητῷ
to-the-Trojans calling breaks-around they and with-war-cry
πᾶν πεδίον κατέχουσι, μάχῃ νικῶντες Ἀχαιούς.
all the-plain hold in-battle conquering the-Achaeans
ἀλλὰ καὶ ὣς, Πάτροκλε, νεῶν ἀπὸ λοιγὸν ἀμύνων
but even so Patroclus the-ships from ruin warding-off
ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
fall-on mightily lest indeed with-fire blazing
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
the-ships they-burn dear and away the-return take
πείθεο δ' ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
obey and as for-you I of-my-word the-end in mind put

ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
that — for-me honor great and glory you-may-win
πρὸς πάντων Δαναῶν, ἀτὰρ οἱ περικαλλέα κούρην
from all the-Danaans but they the-very-fair girl
ἂψ ἀπονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
back may-send besides and glorious gifts give
ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
from the-ships having-driven-them come back if but — again to-you
δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
grant glory to-win loud-thundering husband of-Hera
μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
not you indeed apart from-me desire to-fight
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις·
with-the-Trojans war-loving less-honored and me you-will-make
μηδ' ἐπαγαλλόμενος πολέμῳ καὶ δηϊοτῆτι,
nor exulting in-war and combat
Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν,
the-Trojans slaying to Ilium to-lead
μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
lest some from Olympus of-the-gods ever-living
ἐμβήῃ· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·
step-in greatly them indeed loves the-far-worker Apollo
ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσι
but back turn when light among the-ships
θήῃς, τοὺς δ' ἔτ' ἐᾶν πεδίον κάτα δηριάασθαι.
you-make them and still to-let the-plain over to-contend
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
if-only for Zeus and father and Athena and Apollo
μήτε τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασι,
nor any then of-the-Trojans death might-escape as-many-as are

μήτε τις Ἀργείων, νῶϊν δ' ἐκδῦμεν ὄλεθρον,
nor any of-the-Argives we-two and might-escape destruction
ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν."
so-that alone of-Troy the-sacred battlements we-might-loose

XVI.2 · THE SHIPS BURN

Ajax, worn out by missiles, is driven back. Hector cuts off his spear point, and Ajax recognizes the work of Zeus and retreats. The Trojans set the ship on fire. Achilles sees it and tells Patroclus to arm. Patroclus puts on Achilles' armor but leaves his great spear, which only Achilles can wield. Automedon yokes the horses Xanthus and Balius and the mortal Pedasus. Achilles arms the Myrmidons, who are like wolves after a kill.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσι·
Ajax and no-longer stayed he-was-pressed for by-missiles
δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοὶ
subdued him of-Zeus both the-mind and the-Trojans lordly
βάλλοντες· δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
hitting dreadful and around the-temples the-shining
πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ' αἰεὶ
helmet being-struck a-clatter held was-struck and always
κὰπ φάλαρ' εὐποίηθ'· ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν
on the-cheek-pieces well-made he and the-left shoulder was-weary
ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον· οὐδ' ἐδύναντο
steadily always holding the-shield glittering nor were-they-able
ἀμφ' αὐτῷ πελεμίξαι ἐρείδοντες βελέεσσιν.
about him shake(-it) pressing with-missiles

αἰεὶ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι, κὰδ δέ οἱ ἱδρὼς
always and with-grievous he-was-held gasping down and from-him sweat
πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πῃ εἶχεν
from-everywhere from the-limbs much flowed nor anywhere had-he-the-chance
ἀμπνεῦσαι· πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.
to-breathe everywhere and evil on-evil was-heaped
Ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
Tell now to-me Muses Olympian homes having
ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
how indeed first fire fell-on the-ships of-the-Achaeans
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς
Hector of-Ajax the-spear ashen near standing
πλῆξ' ἄορι μεγάλῳ, αἰχμῆς παρὰ καυλὸν ὄπισθεν,
struck with-sword great of-the-point by the-socket behind
ἀντικρὺ δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
straight-through and he-struck-off it indeed Telamonian Ajax
πῆλ' αὔτως ἐν χειρὶ κόλον δόρυ, τῆλε δ' ἀπ' αὐτοῦ
brandished idly in hand a-docked spear far and from him
αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
the-point bronze to-the-ground boomed falling
γνῶ δ' Αἴας κατὰ θυμὸν ἀμύμονα, ῥίγησέν τε,
knew and Ajax in heart blameless shuddered and
ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κεῖρε
the-works of-the-gods that then altogether of-battle over the-plans cut
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετο νίκην·
Zeus thundering-on-high for-the-Trojans and wished victory
χάζετο δ' ἐκ βελέων. τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ
he-withdrew and from the-missiles they and cast untiring fire
νηῒ θοῇ· τῆς δ' αἶψα κατ' ἀσβέστη κέχυτο φλόξ.
on-ship swift over-it and quickly down unquenchable was-poured flame

ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεὺς
so the indeed stern fire beset but Achilles
μηρὼ πληξάμενος Πατροκλῆα προσέειπεν·
the-thighs striking Patroclus addressed
"ὄρσεο, διογενὲς Πατρόκλεες ἱπποκέλευθε·
rise Zeus-born Patroclus driver-of-horses
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἰωήν·
I-see indeed by the-ships of-fire consuming the-rush
μὴ δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται·
lest indeed the-ships they-take and no-longer escapable may-be
δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω."
put-on the-arms quicker I and — the-host will-gather
Ὣς φάτο, Πάτροκλος δὲ κορύσσετο νώροπι χαλκῷ.
So he-spoke Patroclus and armed-himself with-gleaming bronze
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε,
the-greaves indeed first about shins he-put
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
fair with-silver ankle-pieces fitted
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
second in-turn the-corselet about breast he-put-on
ποικίλον ἀστερόεντα ποδώκεος Αἰακίδαο.
inlaid starry of-the-swift-footed son-of-Aeacus
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
around and then shoulders he-cast the-sword silver-studded
χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
bronze but then the-shield great both stout and
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
on-head and on mighty a-helmet well-made he-put
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
horsehair-crested dreadfully and the-plume above nodded

εἵλετο δ᾽ ἄλκιμα δοῦρε, τά οἱ παλάμηφιν ἀρήρει.
he-took and valiant spears-two which for-him to-his-hands fitted
ἔγχος δ᾽ οὐχ ἕλετ᾽ οἷον ἀμύμονος Αἰακίδαο,
the-spear but not he-took alone of-the-blameless son-of-Aeacus
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ᾽ ἄλλος Ἀχαιῶν
heavy great stout it indeed not could other of-the-Achaeans
πάλλειν, ἀλλά μιν οἷος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
wield but it alone knew-how to-wield Achilles
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Pelian ash which to-father dear gave Chiron
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
of-Pelion from the-peak death to-be for-heroes
ἵππους δ᾽ Αὐτομέδοντα θοῶς ζευγνῦμεν ἄνωγε,
the-horses and Automedon quickly to-yoke he-bade
τὸν μετ᾽ Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιστα,
whom after Achilles breaker-of-men he-honored most
πιστότατος δέ οἱ ἔσκε μάχῃ ἔνι μεῖναι ὁμοκλήν.
most-trusty and to-him was battle in to-await the-call
τῷ δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέας ἵππους,
for-him and also Automedon led-under the-yoke the-swift horses
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇσι πετέσθην,
Xanthus and Balius which with the-blasts flew
τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ Ἅρπυια Ποδάργη,
which bore to-Zephyrus the-wind the-Harpy Podarge
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.
grazing in-a-meadow by the-stream of-Oceanus
ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἧκε,
in and the-traces blameless Pedasus he-put

τόν ῥά ποτ᾽ Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ᾽ Ἀχιλλεύς,
whom then once of-Eetion having-taken the-city brought Achilles
ὃς καὶ θνητὸς ἐὼν ἕπεθ᾽ ἵπποις ἀθανάτοισι.
who even mortal being followed horses immortal
Μυρμιδόνας δ᾽ ἄρ᾽ ἐποιχόμενος θώρηξεν Ἀχιλλεὺς
the-Myrmidons and then going-among armed Achilles
πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν· οἱ δὲ λύκοι ὥς
all through the-huts with arms they and wolves like
ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκή,
raw-eating in-whose — around minds unspeakable valor
οἵ τ᾽ ἔλαφον κεραὸν μέγαν οὔρεσι δηώσαντες
who — a-stag horned great on-the-mountains having-slain
δάπτουσιν· πᾶσιν δὲ παρήϊον αἵματι φοινόν·
devour of-all and the-cheek with-blood red
καί τ᾽ ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου
and — in-packs they-go from a-spring of-dark-water
λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ
to-lap with-tongues slender black water
ἄκρον, ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ τε θυμὸς
at-the-surface belching the-gore of-blood in and — the-heart
στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ·
in-breast fearless is is-distended and — the-belly
τοῖοι Μυρμιδόνων ἡγήτορες ἠδὲ μέδοντες
such of-the-Myrmidons leaders and rulers
ἀμφ᾽ ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο
about the-good attendant of-the-swift-footed son-of-Aeacus
ῥώοντ᾽· ἐν δ᾽ ἄρα τοῖσιν ἀρήϊος ἵστατ᾽ Ἀχιλλεύς,
rushed in and then them warlike stood Achilles
ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
urging horses both and men shield-bearing

Achilles' fifty ships carry fifty men each, under five leaders: Menesthius, son of the river Spercheus, Eudorus, son of Hermes, Peisander, Phoenix, and Alcimedon. Achilles reminds them of their complaints against his anger and sends them out. They close ranks like a well-built wall. Achilles takes a cup from his chest, pours a libation, and prays to Zeus of Dodona for Patroclus' glory and safe return. Zeus grants that he drive the fighting from the ships but denies his safe return.

Πεντήκοντ' ἦσαν νῆες θοαί, ἦσιν Ἀχιλλεὺς
Fifty were ships swift with-which Achilles
ἐς Τροίην ἡγεῖτο Διῒ φίλος· ἐν δὲ ἑκάστῃ
to Troy led to-Zeus dear in and each
πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κληῖσιν ἑταῖροι·
fifty were men at the-thole-pins comrades
πέντε δ' ἄρ' ἡγεμόνας ποιήσατο τοῖς ἐπεποίθει
five and then leaders he-made in-whom he-trusted
σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἤνασσε.
to-give-orders himself and greatly ruling was-lord
τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ,
of-the indeed one rank led Menesthius with-glittering-corselet
υἱὸς Σπερχειοῖο, διιπετέος, ποταμοῖο·
son of-Spercheus Zeus-fed river
ὃν τέκε Πηλῆος θυγάτηρ, καλὴ Πολυδώρη,
whom bore of-Peleus daughter fair Polydora
Σπερχειῷ ἀκάμαντι γυνὴ θεῷ εὐνηθεῖσα,
to-Spercheus untiring a-woman with-a-god having-lain
αὐτὰρ ἐπίκλησιν Βώρῳ, Περιήρεος υἱῖ,
but by-name to-Borus of-Perieres son
ὅς ῥ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια ἕδνα.
who then openly wed giving countless bride-gifts

τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευε,
of-the and second Eudorus warlike was-leader
παρθένιος, τὸν τίκτε χορῷ καλὴ Πολυμήλη,
born-of-a-maiden whom bore in-the-dance fair Polymele
Φύλαντος θυγάτηρ· τῆς δὲ κρατὺς Ἀργειφόντης
of-Phylas daughter her and the-strong Argus-slayer
ἠράσατ', ὀφθαλμοῖσιν ἰδὼν μετὰ μελπομένῃσιν
loved with-eyes seeing among the-singing-girls
ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς.
in the-dance of-Artemis golden-distaffed clamorous
αὐτίκα δ' εἰς ὑπερῷ' ἀναβὰς παρελέξατο λάθρῃ
at-once and to the-upper-room going-up lay-beside(-her) secretly
Ἑρμείας ἀκάκητα, πόρεν δέ οἱ ἀγλαὸν υἱὸν
Hermes the-helper gave and to-him a-glorious son
Εὔδωρον, πέρι μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.
Eudorus beyond indeed to-run swift and a-fighter
αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοστόκος Εἰλείθυια
but when indeed him indeed the-birth-helping Eileithyia
ἐξάγαγε πρὸ φόωσδε καὶ ἠελίου ἴδεν αὐγάς,
brought-forth to light and of-the-sun he-saw the-rays
τὴν μὲν Ἐχεκλῆος κρατερὸν μένος Ἀκτορίδαο
her indeed of-Echecles the-strong might of-the-son-of-Actor
ἠγάγετο πρὸς δώματ', ἐπεὶ πόρε μυρία ἕδνα,
led to his-halls when he-gave countless bride-gifts
τὸν δ' ὁ γέρων Φύλας εὖ ἔτρεφεν ἠδ' ἀτίταλλεν,
him and the old-man Phylas well reared and cherished
ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα.
loving-him-fondly as if — his-own son being

τῆς δὲ τρίτης Πείσανδρος ἀρήϊος ἡγεμόνευε
of-the and third Peisander warlike was-leader
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν
son-of-Maemalus who among-all was-conspicuous the-Myrmidons
ἔγχεϊ μάρνασθαι μετὰ Πηλεΐωνος ἑταῖρον.
with-the-spear to-fight after of-the-son-of-Peleus the-comrade
τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ,
of-the and fourth led the-old-man horse-driving Phoenix
πέμπτης δ' Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.
of-the-fifth and Alcimedon of-Laerces son blameless
αὐτὰρ ἐπεὶ δὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺς
but when indeed all with the-leaders Achilles
στῆσεν ἐϋ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
stationed well choosing strong and on word he-laid
"Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω,
Myrmidons let-not any for-me of-the-threats forget
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι
which at the-ships swift you-threatened against-the-Trojans
πάνθ' ὑπὸ μηνιθμόν, καί μ' ἠτιάασθε ἕκαστος·
all during the-wrath and me you-blamed each
'σχέτλιε Πηλέος υἱέ, χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ,
cruel of-Peleus son with-gall then you reared your-mother
νηλεές, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·
pitiless who by the-ships hold unwilling comrades

οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
homeward indeed with ships let-us-go seafaring
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.'
back since then for-you thus evil anger fell-on the-heart
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
these-things to-me gathering often you-said now and is-shown
φυλόπιδος μέγα ἔργον, ἔης τὸ πρίν γ' ἐράασθε.
of-the-battle the-great work which the before indeed you-loved
ἔνθά τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω."
there any a-valiant heart having with-the-Trojans let-him-fight
Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken he-roused the-might and spirit of-each
μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
more and the-ranks were-closed when the-king they-heard
ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
as and when a-wall a-man fits with-close stones
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων,
of-a-house lofty the-force of-the-winds avoiding
ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.
so were-fitted helmets both and shields bossed
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
shield then shield pressed helmet helmet man and man
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
touched and the-horsehair-crested helmets with-bright crests
νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
as-they-nodded so close they-stood by-each-other
πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσοντο,
of-all and before two men were-armed
Πάτροκλός τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντες,
Patroclus both and Automedon one spirit having

πρόσθεν Μυρμιδόνων πολεμιζέμεν. αὐτὰρ Ἀχιλλεὺς
before the-Myrmidons to-fight but Achilles
βῆ ῥ᾽ ἴμεν ἐς κλισίην, χηλοῦ δ᾽ ἀπὸ πῶμ᾽ ἀνέῳγε
went then to-go into the-hut of-the-chest and from the-lid opened
καλῆς δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
fair cunningly-wrought which for-him Thetis silver-footed
θῆκ᾽ ἐπὶ νηὸς ἄγεσθαι, ἐϋ πλήσασα χιτώνων
put on the-ship to-be-taken well filling with-tunics
χλαινάων τ᾽ ἀνεμοσκεπέων οὔλων τε ταπήτων.
cloaks and wind-sheltering woolly and rugs
ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος
there and for-him a-cup was well-wrought nor any other
οὔτ᾽ ἀνδρῶν πίνεσκεν ἀπ᾽ αὐτοῦ αἴθοπα οἶνον,
neither of-men drank from it sparkling wine
οὔτε τεῳ σπένδεσκε θεῶν, ὅτε μὴ Διὶ πατρί.
nor to-any poured-libation of-the-gods when not to-Zeus father
τό ῥα τότ᾽ ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ
it then then from the-chest taking he-cleansed with-sulfur
πρῶτον, ἔπειτα δ᾽ ἔνιψ᾽ ὕδατος καλῇσι ῥοῇσι,
first then and washed of-water in-fair streams
νίψατο δ᾽ αὐτὸς χεῖρας, ἀφύσσατο δ᾽ αἴθοπα οἶνον.
washed and himself the-hands drew and sparkling wine
εὔχετ᾽ ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λείβε δὲ οἶνον
prayed then standing in-the-middle courtyard poured and the-wine
οὐρανὸν εἰσανιδών· Δία δ᾽ οὐ λάθε τερπικέραυνον·
to-heaven looking-up Zeus and not escaped thunder-delighting
“Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων,
Zeus lord Dodonian Pelasgian far-off dwelling

Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοὶ
of-Dodona ruling wintry around and the-Selli
σοὶ ναίουσ᾽ ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι.
your dwell interpreters with-unwashed-feet sleeping-on-the-ground
ἠμὲν δή ποτ᾽ ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο,
both indeed once my word you-heard praying
τίμησας μὲν ἐμέ, μέγα δ᾽ ἴψαο λαὸν Ἀχαιῶν,
you-honored indeed me greatly and you-smote the-host of-the-Achaeans
ἠδ᾽ ἔτι καὶ νῦν μοι τόδ᾽ ἐπικρήηνον ἐέλδωρ·
and still also now for-me this fulfill wish
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
myself indeed for I will-stay of-the-ships in the-gathering
ἀλλ᾽ ἕταρον πέμπω πολέσιν μετὰ Μυρμιδόνεσσι
but (my)-comrade I-send many among the-Myrmidons
μάρνασθαι· τῷ κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ,
to-fight to-him glory with send-forth far-seeing Zeus
θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσίν, ὄφρα καὶ Ἕκτωρ
embolden and his heart in breast that also Hector
εἴσεται ἤ ῥα καὶ οἷος ἐπίστηται πολεμίζειν
may-know whether then even alone knows-how to-fight
ἡμέτερος θεράπων, ἦ οἱ τότε χεῖρες ἄαπτοι
our attendant or for-him then the-hands invincible
μαίνονθ᾽, ὁππότ᾽ ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος.
rage when I indeed go into the-toil of-Ares
αὐτὰρ ἐπεί κ᾽ ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
but when — from the-ships the-battle din and he-has-driven
ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο
unharmed to-me then the-swift to ships may-he-come
τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν."
arms and with all and close-fighting comrades

Ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε μητίετα Ζεύς.
So he-spoke praying him and heard counselor Zeus
τῷ δ᾽ ἕτερον μὲν δῶκε πατήρ, ἕτερον δ᾽ ἀνένευσε· 250
to-him and one indeed granted the-father the-other and refused
νηῶν μέν οἱ ἀπώσασθαι πόλεμόν τε μάχην τε
from-the-ships indeed to-him to-thrust-back war both battle and
δῶκε, σόον δ᾽ ἀνένευσε μάχης ἐξ ἀπονέεσθαι.
he-granted safe but refused from-battle out to-return
ἤτοι ὁ μὲν σπείσας τε καὶ εὐξάμενος Διὶ πατρὶ
truly he indeed having-poured-libation both and having-prayed to-Zeus father
ἂψ κλισίην εἰσῆλθε, δέπας δ᾽ ἀπέθηκ᾽ ἐνὶ χηλῷ,
back the-hut entered the-cup and put-away in the-chest
στῆ δὲ πάροιθ᾽ ἐλθὼν κλισίης, ἔτι δ᾽ ἤθελε θυμῷ 255
stood and before coming of-the-hut still and wished in-heart
εἰσιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν.
to-look-on of-the-Trojans and Achaeans the-strife dread

XVI.4 · PATROCLUS DRIVES BACK THE TROJANS

The Myrmidons pour out like wasps, and Patroclus urges them to win honor for Achilles. The Trojans, thinking Achilles reconciled, waver; Patroclus kills Pyraechmes and puts out the fire on the ship. The Danaans breathe again, and nine Achaean chiefs each kill a man.

Οἱ δ᾽ ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
They and with Patroclus great-hearted armed
ἔστιχον, ὄφρ᾽ ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
marched until among the-Trojans greatly proud they-rushed

αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
at-once and to-wasps like they-poured-out
εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες,
by-the-wayside which boys provoke as-is-their-habit
αἰεὶ κερτομέοντες ὁδῷ ἔπι οἰκί᾽ ἔχοντας,
always teasing the-road on homes having
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.
fools common and evil for-many they-make
τοὺς δ᾽ εἴ περ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
them and if indeed past any — going a-man wayfarer
κινήσῃ ἀέκων, οἱ δ᾽ ἄλκιμον ἦτορ ἔχοντες
stirs unwilling they and valiant heart having
πρόσσω πᾶς πέτεται καὶ ἀμύνει οἷσι τέκεσσι.
forward each flies and defends his children
τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες
of-them then the-Myrmidons heart and spirit having
ἐκ νηῶν ἐχέοντο· βοὴ δ᾽ ἄσβεστος ὀρώρει.
from the-ships poured the-cry and unquenchable arose
Πάτροκλος δ᾽ ἑτάροισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Patroclus and to-his-comrades called loudly shouting
"Μυρμιδόνες, ἕταροι Πηληϊάδεω Ἀχιλῆος,
Myrmidons comrades of-the-son-of-Peleus Achilles
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
men be friends be-mindful and of-furious courage
ὡς ἂν Πηλεΐδην τιμήσομεν, ὃς μέγ᾽ ἄριστος
that — the-son-of-Peleus we-may-honor who far best
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες,
of-the-Argives by the-ships and close-fighting attendants

γνῷ δὲ καὶ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
may-know and also the-son-of-Atreus wide ruling Agamemnon
ἣν ἄτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτεισεν."
his folly that — the-best of-the-Achaeans not-at-all he-honored
Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου,
So having-spoken he-roused the-might and spirit of-each
ἐν δὲ πέσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
on and fell the-Trojans thronging around and the-ships
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν.
terribly rang shouting under the-Achaeans
Τρῶες δ' ὡς εἶδοντο Μενοιτίου ἄλκιμον υἱόν,
the-Trojans and when they-saw of-Menoetius the-valiant son
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
himself and attendant with arms gleaming
πᾶσιν ὀρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες,
of-all was-stirred the-heart were-moved and the-battalions
ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα
expecting by the-ships the-swift-footed son-of-Peleus
μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἑλέσθαι·
the-wrath indeed to-have-cast-off friendship and to-have-chosen
πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
peered and each where he-might-flee sheer destruction
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ
Patroclus and first threw with-spear shining
ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο,
straight into the-middle where most were-thronging
νηΐ πάρα πρύμνῃ μεγαθύμου Πρωτεσιλάου,
the-ship by stern of-great-hearted Protesilaus

καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς
and hit Pyraechmes who the-Paeonians with-horsehair-crests
ἦγαγεν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος·
led from Amydon from the-Axius wide flowing
τὸν βάλε δεξιὸν ὦμον· ὁ δ' ὕπτιος ἐν κονίῃσι
him he-hit the-right shoulder he and backward in the-dust
κάππεσεν οἰμώξας, ἕταροι δέ μιν ἀμφὶ φόβηθεν
fell groaning the-comrades and him around fled
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν
the-Paeonians in for Patroclus rout sent to-all
ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
the-leader having-killed who was-best to-fight
ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
from the-ships and he-drove down and quenched the-blazing fire
ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι· τοὶ δὲ φόβηθεν
half-burnt and then the-ship was-left there they and were-routed
Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο
the-Trojans with-wondrous uproar the-Danaans and poured-in
νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.
the-ships among hollow uproar and incessant arose
ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
as and when from high peak of-a-mountain great
κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,
moves thick cloud the-lightning-gatherer Zeus
ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι
out and appear all lookouts and headlands lofty
καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ,
and glens from-heaven and then breaks-open boundless upper-air

ὣς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ
so the-Danaans from-the-ships indeed having-thrust-back consuming fire
τυτθὸν ἀνέπνευσαν, πολέμου δ' οὐ γίγνετ' ἐρωή·
a-little took-breath of-war but not came cessation
οὐ γάρ πώ τι Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
not for yet at-all the-Trojans dear-to-Ares by Achaeans
προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,
headlong were-routed black from ships
ἀλλ' ἔτ' ἄρ' ἀνθίσταντο, νεῶν δ' ὑπόεικον ἀνάγκῃ. 305
but still then withstood from-the-ships and gave-way by-necessity
Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης
Then and man took man scattered the-combat
ἡγεμόνων. πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱὸς
of-the-leaders first and of-Menoetius the-valiant son
αὐτίκ' ἄρα στρεφθέντος Ἀρηϊλύκου βάλε μηρὸν
at-once then having-turned of-Areilycus he-hit the-thigh
ἔγχεϊ ὀξυόεντι, διαπρὸ δὲ χαλκὸν ἔλασσε·
with-spear sharp right-through and bronze drove
ῥῆξεν δ' ὀστέον ἔγχος, ὁ δὲ πρηνὴς ἐπὶ γαίῃ 310
broke and the-bone the-spear he and headlong on the-earth
κάππεσ'· ἀτὰρ Μενέλαος ἀρήϊος οὗτα Θόαντα
fell but Menelaus warlike wounded Thoas
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, λῦσε δὲ γυῖα.
the-breast bared by the-shield loosed and limbs

Φυλείδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας
the-son-of-Phyleus and Amphiclus rushing-at watching
ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
got-first reaching at-the-base leg where thickest
μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεος αἰχμῇ
the-muscle of-a-man is around and of-the-spear the-point
νεῦρα διεσχίσθη· τὸν δὲ σκότος ὄσσε κάλυψε.
the-sinews were-split him and darkness the-eyes covered
Νεστορίδαι δ' ὁ μὲν οὔτασ' Ἀτύμνιον ὀξέϊ δουρὶ
the-sons-of-Nestor and the-one indeed wounded Atymnius with-sharp spear
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος·
Antilochus through-the-flank and drove-through bronze spear
ἤριπε δὲ προπάροιθε. Μάρις δ' αὐτοσχεδὰ δουρὶ
he-fell and forward Maris and at-close-quarters with-the-spear
Ἀντιλόχῳ ἐπόρουσε κασιγνήτοιο χολωθείς,
at-Antilochus leapt for-his-brother angered
στὰς πρόσθεν νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης
standing before the-corpse him and godlike Thrasymedes
ἔφθη ὀρεξάμενος πρὶν οὐτάσαι, οὐδ' ἀφάμαρτεν,
got-first reaching before he-wounded nor missed
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
the-shoulder at-once the-upper and arm of-the-spear the-point
δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε·
tore from the-muscles off and the-bone utterly smashed
δούπησεν δὲ πεσών, κατὰ δὲ σκότος ὄσσε κάλυψεν.
he-thudded and falling down and darkness the-eyes covered
ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
so the-two indeed by-two brothers subdued
βήτην εἰς Ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,
went to Erebus of-Sarpedon brave comrades

υἷες ἀκοντισταὶ Ἀμισωδάρου, ὅς ῥα Χίμαιραν
sons spearmen of-Amisodarus who then the-Chimaera
θρέψεν ἀμαιμακέτην, πολέσιν κακὸν ἀνθρώποισιν.
reared invincible for-many evil men
Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπορούσας
Ajax and Cleobulus the-son-of-Oïleus leaping-at
ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
alive took hampered in the-press but his there
λῦσε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι.
loosed the-might striking with-sword the-neck hilted
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
all and was-warmed the-sword with-blood him and down the-eyes
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
seized purple death and fate mighty
Πηνέλεως δὲ Λύκων τε συνέδραμον· ἔγχεσι μὲν γὰρ
Peneleos and Lycon and ran-together with-spears indeed for
ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω·
they-missed each-other in-vain and they-threw both
τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον. ἔνθα Λύκων μὲν
they-two and again with-swords ran-together there Lycon indeed
ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν
of-the-horsehair-crested helmet the-crest struck around and the-hilt
φάσγανον ἐρραίσθη· ὁ δ' ὑπ' οὔατος αὐχένα θεῖνε
the-sword was-shattered he and under the-ear the-neck struck
Πηνέλεως, πᾶν δ' εἴσω ἔδυ ξίφος, ἔσχεθε δ' οἷον
Peneleos all and within sank the-sword held and only
δέρμα, παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
the-skin hung-aside and the-head were-loosed and limbs

Μηριόνης δ' Ἀκάμαντα κιχεὶς ποσὶ καρπαλίμοισι
Meriones and Acamas overtaking with-feet swift
νύξ' ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον·
stabbed the-horses about-to-mount on right shoulder
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς.
he-fell and from the-chariot down and the-eyes was-poured mist
Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα νηλέϊ χαλκῷ
Idomeneus and Erymas in the-mouth with-pitiless bronze
νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε
stabbed the and straight-through spear bronze passed
νέρθεν ὑπ' ἐγκεφάλοιο, κέασσε δ' ἄρ' ὀστέα λευκά·
below under the-brain split and then the-bones white
ἐκ δὲ τίναχθεν ὀδόντες, ἐνέπλησθεν δέ οἱ ἄμφω
out and were-shaken the-teeth were-filled and his both
αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
with-blood the-eyes it and up mouth and through nostrils
πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
he-spurted gaping of-death and black cloud covered(-him)

The Danaans fall on the Trojans like wolves on lambs, and Hector knows the tide has turned. The Trojans flee in disorder, chariots breaking in the ditch; Patroclus' immortal horses leap it, and he kills many between the ships and the wall. Sarpedon goes to meet him, and Zeus asks Hera whether to snatch his son away to Lycia or let him die.

Οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
These then leaders of-the-Danaans took a-man each
ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι
as and wolves on-lambs fall or on-kids
σίνται, ὑπὲκ μήλων αἱρεύμενοι, αἵ τ' ἐν ὄρεσσι
ravaging out-of the-flocks seizing which — in the-mountains
ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἱ δὲ ἰδόντες
of-the-shepherd through-the-heedlessness are-parted they and seeing
αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας· 355
quickly tear-them-apart cowardly heart having
ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον· οἱ δὲ φόβοιο
so the-Danaans on-the-Trojans fell they and of-rout
δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
ill-sounding were-mindful forgot and of-furious courage
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ
Ajax and the great always at Hector bronze-helmeted
ἵετ' ἀκοντίσσαι· ὁ δὲ ἰδρείῃ πολέμοιο,
was-eager to-hurl he and with-skill of-war
ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους 360
with-shield of-bull's-hide covered the-broad shoulders
σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
watched of-arrows both the-whiz and thud of-javelins

ἦ μὲν δὴ γίγνωσκε μάχης ἑτεραλκέα νίκην·
truly indeed truly he-knew of-battle the-turning victory
ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἑρίηρας ἑταίρους.
but even so he-stood-fast saved and his-trusty comrades
Ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω
As and when from Olympus a-cloud goes heaven into
αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνῃ,
the-upper-air from bright when — Zeus a-storm stretches
ὣς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε,
so of-them from the-ships arose clamor both rout and
οὐδὲ κατὰ μοῖραν πέραον πάλιν. Ἕκτορα δ' ἵπποι
nor in order crossed back Hector and the-horses
ἔκφερον ὠκύποδες σὺν τεύχεσι, λεῖπε δὲ λαὸν
carried-off swift-footed with arms he-left and the-host
Τρωϊκόν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.
Trojan whom unwilling the-dug ditch held-back
πολλοὶ δ' ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι
many and in the-ditch chariot-drawing swift horses
ἄξαντ' ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ' ἀνάκτων,
breaking in the-front pole left the-chariots of-their-lords
Πάτροκλος δ' ἔπετο σφεδανὸν Δαναοῖσι κελεύων,
Patroclus and followed vehemently to-the-Danaans calling
Τρωσὶ κακὰ φρονέων· οἱ δὲ ἰαχῇ τε φόβῳ τε
for-the-Trojans evils intending they and with-clamor both rout and
πάσας πλῆσαν ὁδούς, ἐπεὶ ἂρ τμάγεν· ὕψι δ' ἀέλλη
all filled the-roads when then they-were-parted high and the-gust
σκίδναθ' ὑπὸ νεφέων, τανύοντο δὲ μώνυχες ἵπποι
was-scattered under the-clouds strained and the-single-hoofed horses
ἄψορρον προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
backward to the-town the-ships from and the-huts

Πάτροκλος δ᾽ ἦ πλεῖστον ὀρινόμενον ἴδε λαόν,
Patroclus and where most routed he-saw the-host
τῇ ῥ᾽ ἔχ᾽ ὁμοκλήσας· ὑπὸ δ᾽ ἄξοσι φῶτες ἔπιπτον
there then he-held shouting under and the-axles men fell
πρηνέες ἐξ ὀχέων, δίφροι δ᾽ ἀνακυμβαλίαζον.
headlong from the-chariots the-cars and rattled-over
ἀντικρὺ δ᾽ ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι
straight and then the-ditch leapt-over the-swift horses
ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα,
immortal which to-Peleus the-gods gave glorious gifts
πρόσσω ἰέμενοι, ἐπὶ δ᾽ Ἕκτορι κέκλετο θυμός·
forward pressing at and Hector urged his-heart
ἵετο γὰρ βαλέειν· τὸν δ᾽ ἔκφερον ὠκέες ἵπποι.
he-was-eager for to-hit him and carried-off the-swift horses
ὡς δ᾽ ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
as and under a-storm all the-black is-weighed-down earth
ἤματ᾽ ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
on-day of-late-summer when most-violent pours water
Ζεύς, ὅτε δή ῥ᾽ ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ,
Zeus when indeed then with-men angered he-is-wroth
οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
who by-force in assembly crooked judge judgments
ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες·
out and justice drive of-the-gods the-regard not caring
τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες,
of-them and — all indeed rivers are-full flowing
πολλὰς δὲ κλιτῦς τότ᾽ ἀποτμήγουσι χαράδραι,
many and slopes then cut-away the-torrents

ἐς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
into and the-sea purple greatly groan flowing
ἐξ ὀρέων ἐπικάρ, μινύθει δέ τε ἔργ' ἀνθρώπων·
from the-mountains headlong are-diminished and — the-works of-men
ὣς ἵπποι Τρῳαὶ μεγάλα στενάχοντο θέουσαι.
so the-horses Trojan greatly groaned running
Πάτροκλος δ' ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
Patroclus and when then the-first he-had-cut-off battalions
ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετές, οὐδὲ πόληος
back toward the-ships he-penned back-again nor the-city
εἴα ἱεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
allowed eager to-reach but between
νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
the-ships and the-river and the-wall high
κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετίνυτο ποινήν.
he-killed rushing-among of-many and he-exacted the-price
ἔνθ' ἤτοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ,
there truly Pronous first he-hit with-spear shining
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, λῦσε δὲ γυῖα·
the-breast bared by the-shield loosed and limbs
δούπησεν δὲ πεσών· ὁ δὲ Θέστορα, Ἤνοπος υἱόν,
he-thudded and falling he and Thestor of-Enops son
δεύτερον ὁρμηθείς — ὁ μὲν εὐξέστῳ ἐνὶ δίφρῳ
second rushing-at he indeed well-polished in chariot
ἧστο ἀλείς· ἐκ γὰρ πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν
sat crouching out for he-was-struck in-wits out and then from-hands
ἡνία ᾔχθησαν — ὁ δ' ἔγχεϊ νύξε παραστὰς
the-reins darted he and with-spear stabbed standing-by
γναθμὸν δεξιτερόν, διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων,
the-jaw right through and his he-pierced teeth

ἕλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος, ὡς ὅτε τις φὼς
dragged and by-the-spear taking over the-rim as when some man
πέτρῃ ἔπι προβλῆτι καθήμενος ἱερὸν ἰχθὺν
a-rock on jutting sitting a-sacred fish
ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ·
from the-sea out with-line and gleaming bronze
ὣς ἕλκ᾽ ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ,
so he-dragged from the-chariot gaping with-spear shining
κὰδ δ᾽ ἄρ᾽ ἐπὶ στόμ᾽ ἔωσε· πεσόντα δέ μιν λίπε θυμός. 410
down and then on the-face he-threw fallen and him left the-spirit
αὐτὰρ ἔπειτ᾽ Ἐρύλαον ἐπεσσύμενον βάλε πέτρῳ
but then Erylaus rushing-on he-hit with-a-stone
μέσσην κὰκ κεφαλήν· ἡ δ᾽ ἄνδιχα πᾶσα κεάσθη
middle on the-head it and in-two all was-split
ἐν κόρυθι βριαρῇ· ὁ δ᾽ ἄρα πρηνὴς ἐπὶ γαίῃ
in the-helmet heavy he and then headlong on the-earth
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
fell around and him death was-poured spirit-destroying
αὐτὰρ ἔπειτ᾽ Ἐρύμαντα καὶ Ἀμφοτερὸν καὶ Ἐπάλτην, 415
but then Erymas and Amphoterus and Epaltes
Τληπόλεμόν τε Δαμαστορίδην Ἐχίον τε Πύριν τε,
Tlepolemus and son-of-Damastor Echius both Pyris and
Ἰφέα τ᾽ Εὐιππόν τε καὶ Ἀργεάδην Πολύμηλον,
Ipheus and Euippus both and son-of-Argeas Polymelus
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
all one-after-another brought to-the-earth much-nourishing
Σαρπηδὼν δ᾽ ὡς οὖν ἴδ᾽ ἀμιτροχίτωνας ἑταίρους
Sarpedon and when then he-saw unbelted comrades
χέρσ᾽ ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντας, 420
hands under of-Patroclus son-of-Menoetius subdued

κέκλετ᾽ ἄρ᾽ ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·
called then to-the-godlike rebuking Lycians
"αἰδώς, ὦ Λύκιοι· πόσε φεύγετε; νῦν θοοὶ ἔστε.
shame O Lycians whither do-you-flee now swift be
ἀντήσω γὰρ ἐγὼ τοῦδ᾽ ἀνέρος, ὄφρα δαείω
will-meet for I this man that I-may-learn
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε
who any this prevails and indeed evils many has-done
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ᾽ ἔλυσεν."
to-the-Trojans since of-many both and brave the-knees he-has-loosed
Ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε.
He-spoke then and from the-chariot with arms leapt to-the-ground
Πάτροκλος δ᾽ ἑτέρωθεν ἐπεὶ ἴδεν, ἔκθορε δίφρου.
Patroclus and on-the-other-side when he-saw leapt-from the-chariot
οἱ δ᾽ ὥς τ᾽ αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι
they and as — vultures crook-taloned hook-beaked
πέτρῃ ἐφ᾽ ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται,
a-rock on high loudly screaming fight
ὣς οἱ κεκλήγοντες ἐπ᾽ ἀλλήλοισιν ὄρουσαν.
so they shouting at each-other rushed
τοὺς δὲ ἰδὼν ἐλέησε Κρόνου πάϊς ἀγκυλομήτεω,
them and seeing pitied of-Cronus the-son crooked-counseled
Ἥρην δὲ προσέειπε κασιγνήτην ἄλοχόν τε·
Hera and he-addressed sister wife and
"ὤ μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
ah me I that — for-me Sarpedon dearest of-men
μοῖρ᾽ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
is-fated by Patroclus son-of-Menoetius to-be-subdued
διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι,
two-ways and for-me the-heart is-minded in-mind pondering

ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
whether him alive being the-battle from tearful
θείω ἀναρπάξας Λυκίης ἐν πίονι δήμῳ,
I-should-set snatching-up Lycia in rich land
ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω."
or already under the-hands of-the-son-of-Menoetius I-should-subdue

XVI.6 · THE DEATH OF SARPEDON

Hera warns that other gods would then want to save their sons, and advises Zeus to let Sarpedon die and have Sleep and Death carry him to Lycia for burial. Zeus agrees and sheds tears of blood. Patroclus kills Thrasymelus, and Sarpedon kills the trace horse Pedasus. Automedon cuts it loose. Patroclus strikes Sarpedon in the chest, and he falls like an oak. Dying, Sarpedon calls on Glaucus to fight for his body. Glaucus prays to Apollo for strength.

Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Him and answered then ox-eyed queenly Hera
"αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες.
most-dread son-of-Cronus what — word you-spoke
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ
a-man mortal being long-ago doomed by-fate
ἆψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
back do-you-wish from-death ill-sounding to-release
ἔρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
do(-it) but not to-you all approve gods other
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
other and to-you I-will-say you and in mind lay(-it) your
αἴ κε ζὸν πέμψῃς Σαρπηδόνα ὅνδε δόμονδε,
if — alive you-send Sarpedon to-his home

φράζεο μή τις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
consider lest some then of-the-gods wish also other
πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·
to-send his dear son from the-mighty combat
πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται
many for around the-town great of-Priam fight
υἱέες ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις.
sons of-immortals in-whom resentment dread you-will-put
ἀλλ' εἴ τοι φίλος ἐστί, τεὸν δ' ὀλοφύρεται ἦτορ,
but if to-you dear he-is your and laments heart
ἤτοι μέν μιν ἔασον ἐνὶ κρατερῇ ὑσμίνῃ
truly indeed him let in mighty combat
χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
hands under of-Patroclus son-of-Menoetius to-be-subdued
αὐτὰρ ἐπὴν δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών,
but when indeed him indeed leaves soul both and life
πέμπειν μιν Θάνατόν τε φέρειν καὶ νήδυμον Ὕπνον,
send him Death both to-carry and sweet Sleep
εἰς ὅ κε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται,
until the-time — indeed Lycia wide the-land they-reach
ἔνθα έ ταρχύσουσι κασίγνητοί τε ἔται τε
there him will-bury brothers both kinsmen and
τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων."
with-a-mound both pillar and that for the-prize is of-the-dead

Ὣς ἔφατ', οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
So she-spoke nor disobeyed the-father of-men both of-gods and
αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε
bloody and drops he-poured-down to-the-ground
παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε
the-son dear honoring whom for-him Patroclus was-to
φθίσειν ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
destroy in Troy deep-soiled far from-the-fatherland
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
They and when indeed near were against each-other going
ἔνθ' ἤτοι Πάτροκλος ἀγακλειτὸν Θρασύμηλον,
there truly Patroclus the-far-famed Thrasymelus
ὅς ῥ' ἠΰς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,
who then the-good attendant of-Sarpedon was lord
τὸν βάλε νείαιραν κατὰ γαστέρα, λῦσε δὲ γυῖα.
him he-hit lowest on the-belly loosed and limbs
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ
Sarpedon and him indeed missed with-spear shining
δεύτερον ὁρμηθείς, ὁ δὲ Πήδασον οὔτασεν ἵππον
second rushing-at he and Pedasus wounded the-horse
ἔγχεϊ δεξιὸν ὦμον· ὁ δ' ἔβραχε θυμὸν ἀΐσθων,
with-the-spear the-right shoulder he and screamed his-life gasping-out
κὰδ δὲ πέσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός.
down and fell in the-dust moaning away and flew the-spirit
τὼ δὲ διαστήτην, κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
the-two and sprang-apart creaked and the-yoke the-reins and for-them
σύγχυτ', ἐπεὶ δὴ κεῖτο παρήορος ἐν κονίῃσι.
were-tangled since indeed lay the-trace-horse in the-dust
τοῖο μὲν Αὐτομέδων δουρικλυτὸς εὖρετο τέκμωρ·
of-this indeed Automedon spear-famed found an-end

σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
drawing the-long-edged sword the-stout from thigh
ἀΐξας ἀπέκοψε παρήορον οὐδὲ μάτησε·
darting he-cut-away the-trace-horse nor missed
τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν·
the-two and were-straightened in and the-reins they-strained
τὼ δ' αὖτις συνίτην ἔριδος πέρι θυμοβόροιο.
the-two and again came-together strife about soul-devouring
Ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Then again Sarpedon indeed missed with-spear shining
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
of-Patroclus and over the-shoulder left went the-point
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὁ δ' ὕστερος ὄρνυτο χαλκῷ
of-the-spear nor hit him he and second rushed with-the-bronze
Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
Patroclus of-him and not vain the-dart escaped from-hand
ἀλλ' ἔβαλ' ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ.
but he-hit where then — the-midriff is-enclosed about the-throbbing heart
ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωΐς,
he-fell and as when some oak falls or a-poplar
ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
or a-pine tall which — on-the-mountains carpenters men
ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
cut with-axes newly-whetted ship-timber to-be
ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
so he before the-horses and chariot lay stretched
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.
roaring the-dust clutching bloody
ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών,
as a-bull kills a-lion among-the-herd coming

αἴθωνα μεγάθυμον, ἐν εἰλιπόδεσσι βόεσσι,
tawny great-hearted among the-shambling cattle
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος,
perishes and groaning under the-jaws of-the-lion
ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων
so under Patroclus of-the-Lycians the-leader shield-bearing
κτεινόμενος μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
being-slain raged his-dear and named comrade
"Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ
Glaucus friend warrior among men now you very must
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν·
a-spearman both to-be and bold warrior
νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι.
now for-you let-be-desired war evil if swift you-are
πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας,
first indeed urge of-the-Lycians leading men
πάντῃ ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι·
everywhere going-among Sarpedon to-fight-around
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ.
but then also yourself me for fight with-bronze
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος
to-you for I also then a-shame and reproach
ἔσσομαι ἤματα πάντα διαμπερές, εἴ κέ μ' Ἀχαιοὶ
shall-be days all continually if — me the-Achaeans
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.
the-arms strip of-the-ships in the-gathering fallen
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα."
but hold mightily urge and the-host all

Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν
So then him having-spoken the-end of-death covered
ὀφθαλμοὺς ῥῖνάς θ'· ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων
the-eyes nostrils and he and with-heel on the-breast stepping
ἐκ χροὸς ἕλκε δόρυ, προτὶ δὲ φρένες αὐτῷ ἕποντο·
from the-flesh drew the-spear with and the-midriff it followed
τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν.
of-him and at-once the-soul both and of-the-spear he-drew-out the-point
Μυρμιδόνες δ' αὐτοῦ σχέθον ἵππους φυσιόωντας,
the-Myrmidons and there held the-horses snorting
ἱεμένους φοβέεσθαι, ἐπεὶ λίπον ἅρματ' ἀνάκτων.
eager to-flee since they-had-left the-chariots of-their-lords
Γλαύκῳ δ' αἰνὸν ἄχος γένετο φθογγῆς ἀΐοντι·
to-Glaucus and dread grief arose the-voice hearing
ὠρίνθη δέ οἱ ἦτορ, ὅ τ' οὐ δύνατο προσαμῦναι.
was-stirred and his heart that — not he-could help
χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αὐτὸν
with-hand and taking he-pressed the-arm distressed for him
ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ἰῷ
the-wound which indeed him Teucer rushing-on hit with-an-arrow
τείχεος ὑψηλοῖο, ἀρὴν ἑτάροισιν ἀμύνων.
from-the-wall high ruin from-his-comrades warding-off
εὐχόμενος δ' ἄρα εἶπεν ἑκηβόλῳ Ἀπόλλωνι·
praying and then he-said to-the-far-shooting Apollo
"κλῦθι, ἄναξ, ὅς που Λυκίης ἐν πίονι δήμῳ
hear lord who somewhere Lycia in rich land
εἶς ἢ ἐνὶ Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν
are or in Troy can and you everywhere hear
ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
a-man troubled as now me trouble reaches

ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ
a-wound indeed for I-have this strong around and for-me the-hand
ὀξείῃς ὀδύνῃσιν ἐλήλαται, οὐδέ μοι αἷμα
with-sharp pains is-pierced nor for-me the-blood
τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμος ὑπ᾽ αὐτοῦ·
to-dry can is-weighed-down and for-me the-shoulder under it
ἔγχος δ᾽ οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
the-spear and not can-I hold firm nor fight
ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ᾽ ὥριστος ὄλωλε,
going against-the-foes the-man and best has-perished
Σαρπηδών, Διὸς υἱός· ὁ δ᾽ οὐδ᾽ οὗ παιδὸς ἀμύνει.
Sarpedon of-Zeus son he and not-even his child defends
ἀλλὰ σύ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
but you indeed for-me lord this strong wound heal
κοίμησον δ᾽ ὀδύνας, δὸς δὲ κράτος, ὄφρ᾽ ἑτάροισι
lull and the-pains grant and might that my-comrades
κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν,
calling the-Lycians I-may-urge to-fight
αὐτός τ᾽ ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι.”
myself and about the-corpse dead I-may-fight

Apollo heals Glaucus' wound. Glaucus rouses the Lycians and the Trojans, and reproaches Hector. The Trojans grieve for Sarpedon and attack. Patroclus urges the Ajaxes on, and the two sides fight over the body. Hector kills Epeigeus, and Patroclus, angered, kills Sthenelaus. The Trojans give way a spear's throw. Glaucus kills Bathycles, and Meriones kills Laogonus. Aeneas throws at Meriones, misses, and taunts him as a dancer.

Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.
So he-spoke praying him and heard Phoebus Apollo
αὐτίκα παῦσ' ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
at-once he-stopped the-pains from and the-wound grievous
αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ.
the-blood black he-dried might and to-him he-cast in-heart
Γλαῦκος δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ γήθησέν τε,
Glaucus and knew his-own in mind rejoiced and
ὅττι οἱ ὦκ' ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
that for-him swiftly had-heard the-great god praying
πρῶτα μὲν ὄτρυνεν Λυκίων ἡγήτορας ἄνδρας,
first indeed he-urged of-the-Lycians leading men
πάντῃ ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι·
everywhere going-among Sarpedon to-fight-around
αὐτὰρ ἔπειτα μετὰ Τρῶας κίε μακρὰ βιβάσθων,
but then among the-Trojans went with-long striding
Πουλυδάμαντ' ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
Polydamas to son-of-Panthous and Agenor noble
βῆ δὲ μετ' Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυστήν,
went and after Aeneas both and Hector bronze-helmeted
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed

“ Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος εἰς ἐπικούρων,
Hector now indeed altogether forgetful you-are of-the-allies
οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης
who of-you for-the-sake far from-friends and native land
θυμὸν ἀποφθινύθουσι· σὺ δ’ οὐκ ἐθέλεις ἐπαμύνειν.
their-life waste-away you but not wish to-help
κεῖται Σαρπηδών, Λυκίων ἀγὸς ἀσπιστάων,
lies Sarpedon of-the-Lycians leader of-shield-bearers
ὃς Λυκίην εἴρυτο δίκῃσί τε καὶ σθένεϊ ᾧ·
who Lycia guarded with-judgments both and strength his
τὸν δ’ ὑπὸ Πατρόκλῳ δάμασ’ ἔγχεϊ χάλκεος Ἄρης.
him and under Patroclus has-subdued with-the-spear bronze Ares
ἀλλά, φίλοι, πάρστητε, νεμεσσήθητε δὲ θυμῷ,
but friends stand-by be-indignant and in-heart
μὴ ἀπὸ τεύχε’ ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν
lest from the-arms they-take outrage and the-corpse
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι ὅσσοι ὄλοντο,
the-Myrmidons for-the-Danaans angered as-many-as have-perished
τοὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσιν.”
whom at the-ships swift we-slew with-spears
Ὣς ἔφατο, Τρῶας δὲ κατὰ κρῆθεν λάβε πένθος
So he-spoke the-Trojans and down from-the-head seized grief
ἄσχετον, οὐκ ἐπιεικτόν, ἐπεί σφισιν ἔρμα πόληος
unbearable not to-be-borne since for-them a-prop of-the-city
ἔσκε καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ’ αὐτῷ
he-was even foreign though being many for with him
λαοὶ ἕποντ’, ἐν δ’ αὐτὸς ἀριστεύεσκε μάχεσθαι·
hosts followed in and he-himself was-best to-fight

βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι· ἦρχε δ' ἄρα σφιν
they-went and straight at-the-Danaans eager led and then them
Ἕκτωρ χωόμενος Σαρπηδόνος. αὐτὰρ Ἀχαιοὺς
Hector angered for-Sarpedon but the-Achaeans
ὦρσε Μενοιτιάδεω Πατροκλῆος λάσιον κῆρ·
roused of-the-son-of-Menoetius Patroclus shaggy heart
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
the-Ajaxes first he-addressed eager even themselves
"Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω,
Ajaxes now for-you-two to-defend dear let-it-be
οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείους.
such-as indeed before you-were among men or even better
κεῖται ἀνὴρ ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν
lies the-man who first leapt-into the-wall of-the-Achaeans
Σαρπηδών· ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες,
Sarpedon but if him we-might-outrage having-taken
τεύχεά τ' ὤμοιιν ἀφελοίμεθα, καί τιν' ἑταίρων
the-arms and from-the-shoulders take-off and some of-the-comrades
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλεῖ χαλκῷ."
of-him defending we-might-subdue with-pitiless bronze
Ὣς ἔφαθ', οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.
So he-spoke they and also themselves to-defend were-eager
οἱ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας
they and when on-both-sides had-strengthened the-battalions
Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί,
Trojans and Lycians and Myrmidons and Achaeans
σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι
clashed about the-corpse dead to-fight
δεινὸν ἀΰσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
dreadfully shouting greatly and clanged the-arms of-the-men

Ζεὺς δ᾽ ἐπὶ νύκτ᾽ ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ,
Zeus and over night deadly stretched the-mighty combat
ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
so-that his-dear about son of-battle deadly the-toil might-be
Ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
Thrust and first the-Trojans bright-eyed Achaeans
βλῆτο γὰρ οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν,
was-hit for not at-all the-worst man among the-Myrmidons
υἱὸς Ἀγακλῆος μεγαθύμου, δῖος Ἐπειγεύς,
son of-Agacles great-hearted noble Epeigeus
ὅς ῥ᾽ ἐν Βουδείῳ εὖ ναιομένῳ ἴφθιμος
who then in Budeum well inhabited ruled
τὸ πρίν· ἀτὰρ τότε γ᾽ ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας
— before but then indeed a-noble cousin having-slain
ἐς Πηλῆ᾽ ἱκέτευσε καὶ ἐς Θέτιν ἀργυρόπεζαν·
to Peleus came-as-suppliant and to Thetis silver-footed
οἱ δ᾽ ἅμ᾽ Ἀχιλλῆϊ ῥηξήνορι πέμπον ἕπεσθαι
they and with Achilles breaker-of-men sent(-him) to-follow
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
Ilium to of-fine-horses that with-the-Trojans he-might-fight
τόν ῥα τόθ᾽ ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
him then then laying-hold-of the-corpse hit glorious Hector
χερμαδίῳ κεφαλήν· ἡ δ᾽ ἄνδιχα πᾶσα κεάσθη
with-a-stone on-the-head it and in-two all was-split
ἐν κόρυθι βριαρῇ· ὁ δ᾽ ἄρα πρηνὴς ἐπὶ νεκρῷ
in the-helmet heavy he and then headlong on the-corpse
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
fell around and him death was-poured spirit-destroying
Πατρόκλῳ δ᾽ ἄρ᾽ ἄχος γένετο φθιμένου ἑτάροιο,
to-Patroclus and then grief arose for-his-fallen comrade

ἴθυσεν δὲ διὰ προμάχων ἴρηκι ἐοικὼς
he-charged-straight and through the-champions to-a-hawk like
ὠκείῃ, ὅς τ' ἐφόβησε κολοιούς τε ψῆράς τε·
swift which — routs jackdaws both starlings and
ὣς ἰθὺς Λυκίων, Πατρόκλεες ἱπποκέλευθε,
so straight at-the-Lycians Patroclus driver-of-horses
ἔσσυο καὶ Τρώων, κεχόλωσο δὲ κῆρ ἑτάροιο.
you-rushed and the-Trojans you-were-angered and in-heart for-your-comrade
καί ῥ' ἔβαλε Σθενέλαον, Ἰθαιμένεος φίλον υἱόν,
and then he-hit Sthenelaus of-Ithaemenes dear son
αὐχένα χερμαδίῳ, ῥῆξεν δ' ἀπὸ τοῖο τένοντας.
on-the-neck with-a-stone broke and from it the-sinews
χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ.
gave-way and back both the-champions and glorious Hector
ὅσση δ' αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,
as-far-as and of-a-javelin the-cast long is
ἥν ῥά τ' ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ
which then — a-man sends trying-himself either in contest
ἠὲ καὶ ἐν πολέμῳ δηΐων ὕπο θυμοραϊστέων,
or also in war foes under life-destroying
τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ' Ἀχαιοί.
so-far gave-way the-Trojans thrust and the-Achaeans
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων,
Glaucus and first of-the-Lycians leader of-shield-bearers
ἐτράπετ', ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυμον,
turned killed and Bathycles great-hearted
Χάλκωνος φίλον υἱόν, ὃς Ἑλλάδι οἰκία ναίων
of-Chalcon dear son who in-Hellas homes dwelling
ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι.
in-bliss both in-wealth and was-conspicuous among-the-Myrmidons

τὸν μὲν ἄρα Γλαῦκος στῆθος μέσον οὔτασε δουρὶ
him indeed then Glaucus the-breast middle wounded with-the-spear
στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων·
turning suddenly when him he-was-overtaking pursuing
δούπησεν δὲ πεσών· πυκινὸν δ' ἄχος ἔλλαβ' Ἀχαιούς,
he-thudded and falling thick and grief seized the-Achaeans
ὡς ἔπεσ' ἐσθλὸς ἀνήρ· μέγα δὲ Τρῶες κεχάροντο,
as fell a-brave man greatly and the-Trojans rejoiced
στὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες· οὐδ' ἄρ' Ἀχαιοὶ
stood and around him going thronging nor then the-Achaeans
ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.
courage forgot the-might and straight they-carried at-them
ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστήν,
then again Meriones of-the-Trojans took a-man helmeted
Λαόγονον, θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς
Laogonus bold son of-Onetor who of-Zeus priest
Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμῳ.
of-Ida was a-god and like was-honored by-the-people
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
him he-hit under the-jaw and the-ear quickly and the-spirit
ᾤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
went from the-limbs hateful and then him darkness seized
Αἰνείας δ' ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
Aeneas and at Meriones the-spear bronze sent
ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβῶντος.
he-hoped for to-hit-him under-the-shield advancing
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
but he indeed facing seeing avoided the-bronze spear

πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
forward for he-stooped it and behind spear long
οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
in-the-ground was-fixed on and the-butt quivered
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
of-the-spear there and then let-go its-might mighty Ares
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
the-point and of-Aeneas quivering into the-earth
615 ᾤχετ', ἐπεί ῥ' ἄλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
went since then vain stout from hand it-had-sped
Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο φώνησέν τε·
Aeneas and then in-heart was-angered spoke and
"Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
Meriones soon — you even a-dancer though being
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ."
spear my would-have-stopped for-good if you I-had-hit indeed

Patroclus tells Meriones to fight rather than talk. The din over Sarpedon rises like the sound of woodcutters in a glen. Hector flees, and the Lycians abandon Sarpedon, whose armor is stripped. Zeus has Apollo wash the body and give it to Sleep and Death. Patroclus, forgetting Achilles' warning, pursues the Trojans.

Τὸν δ' αὖ Μηριόνης δουρικλυτὸς ἀντίον ηὔδα·
Him and in-turn Meriones spear-famed in-reply spoke
"Αἰνεία, χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα
Aeneas hard for-you even mighty though being
πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σευ ἄντα
of-all men to-quench the-might who — you against
ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
comes defending mortal and now also you are-made
εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ,
if also I you should-hit striking in-the-middle with-sharp bronze
αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς
at-once — even strong though being and in-hands trusting
εὖχος ἐμοὶ δοίης, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ."
glory to-me you-would-give the-soul and to-Hades of-famous-horses
Ὣς φάτο, τὸν δ' ἐνένιπε Μενοιτίου ἄλκιμος υἱός·
So he-spoke him and rebuked of-Menoetius the-valiant son
"Μηριόνη, τί σὺ ταῦτα καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις;
Meriones why you these-things even brave being speak
ὦ πέπον, οὔ τοι Τρῶες ὀνειδείοις ἐπέεσσι
O friend not you-know the-Trojans by-reproachful words
νεκροῦ χωρήσουσι· πάρος τινὰ γαῖα καθέξει.
from-the-corpse will-give-way before some the-earth will-hold

ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ·
in for hands the-end of-war of-words and in council
τῶ οὔ τι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι."
therefore not at-all must-one word to-multiply but to-fight
Ὣς εἰπὼν ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
So having-spoken he indeed led he and with followed godlike man
τῶν δ' ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὄρωρεν
of-them and as — of-woodcutting men the-din rises
οὔρεος ἐν βήσσῃς, ἔκαθεν δέ τε γίγνετ' ἀκουή,
of-a-mountain in the-glens from-afar and — arises the-sound
ὣς τῶν ὄρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης
so of-them rose the-thud from the-earth wide-wayed
χαλκοῦ τε ῥινοῦ τε βοῶν τ' εὐποιητάων,
of-bronze both of-hide and of-oxhides and well-made
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
stabbed with-swords both and spears double-pointed
οὐδ' ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
not — still discerning though a-man Sarpedon noble
ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίῃσιν
would-have-known since with-missiles and blood and dust
ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους.
from the-head he-was-covered continuously to the-feet tips
οἱ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
they and always around the-corpse thronged as when flies
σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας
a-steading in buzz full-of-milk around the-pails
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
the-season in spring when — milk the-vessels wets

ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον, οὐδέ ποτε Ζεὺς
so then they around the-corpse thronged nor ever Zeus
τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
turned from the-mighty combat the-eyes shining
ἀλλὰ κατ᾽ αὐτοὺς αἰὲν ὅρα καὶ φράζετο θυμῷ,
but on them always he-looked and considered in-heart
πολλὰ μάλ᾽ ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων,
much greatly about the-slaughter of-Patroclus pondering
ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
whether already also him in mighty combat
αὐτοῦ ἐπ᾽ ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
there over godlike Sarpedon glorious Hector
χαλκῷ δηώσῃ, ἀπό τ᾽ ὤμων τεύχε᾽ ἕληται,
with-bronze should-slay from and the-shoulders the-arms should-take
ἦ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν.
or still also for-more should-increase the-toil sheer
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
thus and to-him thinking it-seemed more-profitable to-be
ὄφρ᾽ ἠΰς θεράπων Πηληϊάδεω Ἀχιλῆος
so-that the-good attendant of-the-son-of-Peleus Achilles
ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
once-more the-Trojans both and Hector bronze-helmeted
ὤσαιτο προτὶ ἄστυ, πολέων δ᾽ ἀπὸ θυμὸν ἕλοιτο.
should-thrust to the-town of-many and away the-life should-take
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα θυμὸν ἐνῆκεν·
in-Hector and first unwarlike spirit he-put
ἐς δίφρον δ᾽ ἀναβὰς φύγαδ᾽ ἔτραπε, κέκλετο δ᾽ ἄλλους
into the-chariot and mounting to-flight he-turned called and the-others
Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
the-Trojans to-flee he-knew for of-Zeus the-sacred scales

ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι μένον, ἀλλὰ φόβηθεν
then not-even the-mighty Lycians stayed but were-routed
πάντες, ἐπεὶ βασιλῆα ἴδον βεβλαμμένον ἦτορ,
all when the-king they-saw stricken in-heart
κείμενον ἐν νεκύων ἀγύρει· πολέες γὰρ ἐπ' αὐτῷ
lying in of-the-corpses the-gathering many for on him
κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
fell when the-strife mighty strained the-son-of-Cronus
οἱ δ' ἄρ' ἀπ' ὤμοιιν Σαρπηδόνος ἔντε' ἕλοντο
they and then from shoulders of-Sarpedon the-arms took
χάλκεα μαρμαίροντα, τὰ μὲν κοίλας ἐπὶ νῆας
bronze gleaming them indeed the-hollow to ships
δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός.
gave to-carry to-his-comrades of-Menoetius the-valiant son
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
and then Apollo addressed cloud-gatherer Zeus
"εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
if and come now dear Phoebus dark blood cleanse
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα
going from the-missiles from-Sarpedon and him then
πολλὸν ἀποπρὸ φέρων λοῦσον ποταμοῖο ῥοῇσι
far far-from carrying wash in-the-river's streams
χρῖσόν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσον·
anoint and with-ambrosia around and immortal garments put
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
send and him with-escorts together swift to-be-carried
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
Sleep and Death twins who then him quickly
θήσουσ' ἐν Λυκίης εὐρείης πίονι δήμῳ,
will-set in Lycia wide rich land

ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε
there him will-bury brothers both kinsmen and
τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.” 675
with-a-mound both pillar and that for the-prize is of-the-dead
Ὣς ἔφατ’, οὐδ’ ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων.
So he-spoke nor then the-father disobeyed Apollo
βῆ δὲ κατ’ Ἰδαίων ὀρέων ἐς φύλοπιν αἰνήν,
went and down the-Idaean mountains into the-strife dread
αὐτίκα δ’ ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας
at-once and from the-missiles Sarpedon noble lifting
πολλὸν ἀποπρὸ φέρων λοῦσεν ποταμοῖο ῥοῇσι
far far-from carrying he-washed in-the-river’s streams
χρῖσέν τ’ ἀμβροσίῃ, περὶ δ’ ἄμβροτα εἵματα ἕσσε· 680
anointed and with-ambrosia around and immortal garments put
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
sent and him with-escorts together swift to-be-carried
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
Sleep and Death twins who then him quickly
κάθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ.
set in Lycia wide rich land
Πάτροκλος δ’ ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας
Patroclus and to-the-horses and to-Automedon calling
Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ’ ἀάσθη 685
the-Trojans and Lycians pursued and greatly was-blinded
νήπιος· εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν,
fool if but the-word of-the-son-of-Peleus he-had-kept
ἦ τ’ ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
truly — — he-would-have-escaped doom evil of-black death
ἀλλ’ αἰεί τε Διὸς κρείσσων νόος ἠέ περ ἀνδρῶν·
but always — of-Zeus stronger the-mind than indeed of-men

ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
who — even a-valiant man routs and has-taken-away victory
ῥηϊδίως, ὅτε δ' αὐτὸς ἐποτρύνῃσι μάχεσθαι·
easily when and himself urges to-fight
ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκεν.
who for-him also then the-spirit in breast urged

XVI.9 · CEBRIONES

Patroclus kills many as he pursues. Troy would have fallen to him, but Apollo stands on the tower and thrusts him from the wall three times. The fourth time he warns him that the city is not fated to fall to him, or even to Achilles. Apollo, as Asius, urges Hector against Patroclus. Patroclus' stone kills Hector's charioteer Cebriones, and he mocks the fall as a diver's leap. Hector and Patroclus fight over the body like lions, and the armies clash around it like winds in a forest.

Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,
Then whom first whom and last did-you-slay
Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατόνδε κάλεσσαν;
Patroclus when indeed you the-gods to-death called
Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
Adrastus indeed first and Autonous and Echeclus
καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,
and Perimus son-of-Megas and Epistor and Melanippus
αὐτὰρ ἔπειτ' Ἔλασον καὶ Μούλιον ἠδὲ Πυλάρτην·
but then Elasus and Mulius and Pylartes
τοὺς ἕλεν· οἱ δ' ἄλλοι φύγαδε μνώοντο ἕκαστος.
these he-took they and others to-flight were-minded each

Ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν
Then — high-gated Troy would-have-taken the-sons of-the-Achaeans
Πατρόκλου ὑπὸ χερσί· περιπρὸ γὰρ ἔγχεϊ θῦεν·
of-Patroclus under the-hands all-around for with-the-spear he-raged
εἰ μὴ Ἀπόλλων Φοῖβος ἐϋδμήτου ἐπὶ πύργου
if not Apollo Phoebus well-built on the-tower
ἔστη, τῷ ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων.
had-stood for-him deadly intending the-Trojans and helping
τρὶς μὲν ἐπ' ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
thrice indeed on the-angle went of-the-wall high
Πάτροκλος, τρὶς δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων,
Patroclus thrice and him thrust-back Apollo
χείρεσσ' ἀθανάτῃσι φαεινὴν ἀσπίδα νύσσων.
with-hands immortal the-shining shield striking
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
but when indeed the fourth-time he-rushed to-a-divinity equal
δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
dreadfully and shouting words winged addressed
"χάζεο, διογενὲς Πατρόκλεες· οὔ νύ τοι αἶσα
give-way Zeus-born Patroclus not now for-you it-is-fated
σῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
your under spear the-city to-sack of-the-Trojans lordly
οὐδ' ὑπ' Ἀχιλλῆος, ὅς περ σέο πολλὸν ἀμείνων."
nor under Achilles who indeed than-you much better
Ὣς φάτο, Πάτροκλος δ' ἀνεχάζετο πολλὸν ὀπίσσω,
So he-spoke Patroclus and withdrew far backward
μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
the-wrath avoiding of-far-shooting Apollo

Ἕκτωρ δ' ἐν Σκαιῇσι πύλῃς ἔχε μώνυχας ἵππους·
Hector and at the-Scaean gates held the-single-hoofed horses
δίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάσσας,
he-pondered for whether he-should-fight into the-press again driving
ἦ λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι.
or the-hosts into the-wall should-call to-gather
ταῦτ' ἄρα οἱ φρονέοντι παρίστατο Φοῖβος Ἀπόλλων,
these-things then to-him thinking stood-by Phoebus Apollo
ἀνέρι εἰσάμενος αἰζηῷ τε κρατερῷ τε,
to-a-man likening-himself young both strong and
Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
to-Asius who uncle was of-Hector horse-taming
αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
own-brother of-Hecuba son and of-Dymas
ὃς Φρυγίῃ ναίεσκε ῥοῇς ἔπι Σαγγαρίοιο·
who in-Phrygia dwelt the-streams by of-the-Sangarius
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
to-him him likening-himself addressed of-Zeus son Apollo
"Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
Hector why from-battle do-you-cease nor at-all you must
αἴθ' ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
would-that as-much-as weaker I-am so-much than-you stronger I-were
τῷ κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
then — soon to-your-sorrow from-war you-would-withdraw
ἀλλ' ἄγε, Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους,
but come at-Patroclus drive the-strong-hoofed horses
αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων."
if — somehow him you-may-take may-give and to-you glory Apollo

Ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
So having-spoken he indeed back went the-god into the-toil of-men
Κεβριόνῃ δ' ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
to-Cebriones and bade wise glorious Hector
ἵππους ἐς πόλεμον πεπληγέμεν. αὐτὰρ Ἀπόλλων
the-horses into war to-lash but Apollo
δύσεθ' ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργείοισιν
entered the-throng going in and confusion on-the-Argives
ἧκε κακόν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν. 730
sent evil to-the-Trojans and also to-Hector glory granted
Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἔα οὐδ' ἐνάριζεν·
Hector and the-others indeed Danaans let-be nor slew
αὐτὰρ ὁ Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους.
but he at-Patroclus drove the-strong-hoofed horses
Πάτροκλος δ' ἑτέρωθεν ἀφ' ἵππων ἅλτο χαμᾶζε
Patroclus and on-the-other-side from the-horses leapt to-the-ground
σκαιῇ ἔγχος ἔχων· ἑτέρηφι δὲ λάζετο πέτρον
in-the-left spear holding with-the-other and he-grasped a-stone
μάρμαρον ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψεν, 735
glittering jagged which for-him around hand covered
ἧκε δ' ἐρεισάμενος, οὐδὲ δὴν χάζετο φωτός,
he-sent and planting-himself nor long did-he-shrink-from the-man
οὐδ' ἁλίωσε βέλος, βάλε δ' Ἕκτορος ἡνιοχῆα,
nor wasted the-missile he-hit and of-Hector the-charioteer
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆος Πριάμοιο,
Cebriones bastard son of-glorious Priam
ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέϊ λᾶϊ.
of-the-horses the-reins holding on-the-forehead with-sharp stone

ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν
both and brows crushed-together the-stone nor for-him held
ὀστέον, ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
the-bone the-eyes and to-the-ground fell in the-dust
αὐτοῦ πρόσθε ποδῶν· ὁ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼς
there before feet he and then to-a-diver like
κάππεσ' ἀπ' εὐεργέος δίφρου, λίπε δ' ὀστέα θυμός.
fell from the-well-made chariot left and the-bones the-spirit
τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλεες ἱππεῦ·
him and mocking you-addressed Patroclus horseman
"ὦ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ.
oh for-shame truly very nimble the-man how easily he-dives
εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
if indeed somewhere also the-sea in fishy he-were
πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
many — he-would-feed the-man this oysters searching
νηὸς ἀποθρῴσκων, εἰ καὶ δυσπέμφελος εἴη,
from-the-ship leaping-down if even stormy it-were
ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ.
as now in the-plain from the-horses easily he-dives
ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν."
truly then also among the-Trojans divers are
Ὣς εἰπὼν ἐπὶ Κεβριόνῃ ἥρωϊ βεβήκει
So having-spoken on Cebriones hero he-went
οἶμα λέοντος ἔχων, ὅς τε σταθμοὺς κεραΐζων
the-spring of-a-lion having which — the-steadings ravaging
ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·
is-hit on the-breast his-own and him destroys valor
ὣς ἐπὶ Κεβριόνῃ, Πατρόκλεες, ἅλσο μεμαώς.
so on Cebriones Patroclus you-leapt eager

Ἕκτωρ δ᾽ αὖθ᾽ ἑτέρωθεν ἀφ᾽ ἵππων ἅλτο χαμᾶζε.
Hector and in-turn on-the-other-side from the-horses leapt to-the-ground

τὼ περὶ Κεβριόναο λέονθ᾽ ὡς δηρινθήτην,
the-two over Cebriones lions like fought

ὥ τ᾽ ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο,
which — of-a-mountain on-the-peaks over a-slain deer

ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον·
both hungry greatly proud fight

ὡς περὶ Κεβριόναο δύω μήστωρες ἀϋτῆς,
so over Cebriones two masters of-the-war-cry

Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ,
Patroclus both son-of-Menoetius and glorious Hector

ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
were-eager each-other to-cut the-flesh with-pitiless bronze

Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν, οὐχὶ μεθίει·
Hector indeed by-the-head when he-took not let-go

Πάτροκλος δ᾽ ἑτέρωθεν ἔχεν ποδός· οἱ δὲ δὴ ἄλλοι
Patroclus and on-the-other-side held by-the-foot they and indeed others

Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
the-Trojans and Danaans joined mighty combat

Ὡς δ᾽ Εὖρός τε Νότος τ᾽ ἐριδαίνετον ἀλλήλοιιν
As and Eurus both Notus and contend with-each-other

οὔρεος ἐν βήσσῃς βαθέην πελεμιζέμεν ὕλην,
of-a-mountain in the-glens the-deep to-shake forest

φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,
beech both ash and long-barked and cornel

αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
which — toward each-other dash long-pointed boughs

ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων,
with-a-din wondrous a-crashing and — of-the-breaking

ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ᾽ ἀλλήλοισι θορόντες
so the-Trojans and Achaeans at each-other leaping
δῄουν, οὐδ᾽ ἕτεροι μνώοντ᾽ ὀλοοῖο φόβοιο.
slew nor either-side were-mindful of-deadly rout
πολλὰ δὲ Κεβριόνην ἀμφ᾽ ὀξέα δοῦρα πεπήγει
many and Cebriones around sharp spears were-fixed
ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες,
arrows and winged from the-strings leaping
πολλὰ δὲ χερμάδια μεγάλ᾽ ἀσπίδας ἐστυφέλιξαν
many and stones great the-shields battered
μαρναμένων ἀμφ᾽ αὐτόν· ὁ δ᾽ ἐν στροφάλιγγι κονίης
fighting around him he and in the-whirl of-dust
κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
lay great greatly forgetful of-horsemanship

XVI.10 · THE DEATH OF PATROCLUS

At evening the Achaeans drag away Cebriones' body. Patroclus charges three times and kills nine men each time. The fourth time Apollo strikes him from behind, knocks off his helmet, breaks his spear, and loosens his corselet. Euphorbus wounds him in the back, and Hector spears him in the belly and boasts. Dying, Patroclus tells Hector that Zeus and Apollo killed him, and that Hector will soon die at Achilles' hands. Hector pulls out his spear and goes after Automedon.

Ὄφρα μὲν Ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
While indeed the-Sun the-middle heaven bestrode
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἤπτετο, πῖπτε δὲ λαός·
so-long very of-both the-missiles struck fell and the-host
ἦμος δ᾽ Ἠέλιος μετενίσετο βουλυτόνδε,
when and the-Sun passed-toward ox-loosing-time

καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν.
and then indeed then beyond fate the-Achaeans stronger were
ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν
out indeed Cebriones from-the-missiles the-hero they-dragged
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο,
of-the-Trojans from the-din and from shoulders the-arms took
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε.
Patroclus and on-the-Trojans evils intending leapt
τρὶς μὲν ἔπειτ' ἐπόρουσε θοῷ ἀτάλαντος Ἄρηϊ,
thrice indeed then he-leapt to-swift equal Ares
σμερδαλέα ἰάχων, τρὶς δ' ἐννέα φῶτας ἔπεφνεν.
terribly shouting thrice and nine men he-slew
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
but when indeed the fourth-time he-rushed to-a-divinity equal
ἔνθ' ἄρα τοι, Πάτροκλε, φάνη βιότοιο τελευτή·
there then for-you Patroclus appeared of-life the-end
ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ
met for you Phoebus in mighty combat
δεινός· ὁ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν·
dread he indeed him going through the-press not noticed
ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησε·
in-mist for much covered he-met(-him)
στῆ δ' ὄπιθεν, πλῆξεν δὲ μετάφρενον εὐρέε τ' ὤμω
stood and behind struck and the-back broad and shoulders
χειρὶ καταπρηνεῖ, στρεφεδίνηθεν δέ οἱ ὄσσε.
with-hand flat spun and his eyes
τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·
of-him and from indeed the-head the-helmet cast Phoebus Apollo

ἡ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ' ἵππων
it and rolling a-clatter held the-feet under of-the-horses
αὐλῶπις τρυφάλεια, μιάνθησαν δὲ ἔθειραι
the-tubed helmet were-defiled and the-plumes
αἵματι καὶ κονίῃσι· πάρος γε μὲν οὐ θέμις ἦεν
with-blood and dust before indeed indeed not right was-it
ἱππόκομον πήληκα μιαίνεσθαι κονίῃσιν,
the-horsehair-crested helmet to-be-defiled with-dust
ἀλλ' ἀνδρὸς θείοιο κάρη χαρίεν τε μέτωπον
but of-a-man godlike the-head graceful and forehead
ῥύετ' Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
it-guarded of-Achilles then and Zeus to-Hector gave
ᾗ κεφαλῇ φορέειν, σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος.
on-his head to-wear near and to-him was destruction
πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος,
all and for-him in hands was-broken the-long-shadowed spear
βριθὺ μέγα στιβαρὸν κεκορυθμένον· αὐτὰρ ἀπ' ὤμων
heavy great stout bronze-headed but from shoulders
ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα.
the-shield with the-strap to-the-ground fell tasseled
λῦσε δέ οἱ θώρηκα ἄναξ Διὸς υἱὸς Ἀπόλλων.
loosed and his corselet lord of-Zeus son Apollo
τὸν δ' ἄτη φρένας εἷλε, λύθεν δ' ὑπὸ φαίδιμα γυῖα,
him and blindness the-wits seized were-loosed and beneath the-glorious limbs
στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέϊ δουρὶ
stood and stunned behind and the-back with-sharp spear
ὤμων μεσσηγὺς σχεδόθεν βάλε Δάρδανος ἀνήρ,
the-shoulders between near hit a-Dardanian man

Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
son-of-Panthous Euphorbus who his-age-mates excelled
ἔγχεΐ θ' ἱπποσύνῃ τε πόδεσσί τε καρπαλίμοισι·
with-spear both horsemanship and feet and swift
καὶ γὰρ δὴ τότε φῶτας ἐείκοσι βῆσεν ἀφ' ἵππων,
and for indeed then men twenty brought-down from horses
πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο·
first coming with chariot learning of-war
ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλεες ἱππεῦ,
who you first sent a-dart Patroclus horseman
οὐδὲ δάμασσ'· ὁ μὲν αὖτις ἀνέδραμε, μίκτο δ' ὁμίλῳ,
nor subdued(-you) he indeed back ran-back mingled and with-the-throng
ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον, οὐδ' ὑπέμεινε
from the-flesh snatching the-spear ashen nor withstood
Πάτροκλον γυμνόν περ ἐόντ' ἐν δηϊοτῆτι.
Patroclus unarmed though being in combat
Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς
Patroclus and by-the-god's blow and spear subdued
ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
back of-comrades into the-band withdrew doom avoiding
Ἕκτωρ δ' ὡς εἶδεν Πατροκλῆα μεγάθυμον
Hector and when he-saw Patroclus great-hearted
ἂψ ἀναχαζόμενον, βεβλημένον ὀξέϊ χαλκῷ,
back withdrawing hit with-sharp bronze
ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, οὗτα δὲ δουρὶ
near then him came through the-ranks wounded and with-the-spear
νείατον ἐς κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσε·
lowest in the-flank right-through and bronze drove
δούπησεν δὲ πεσών, μέγα δ' ἤκαχε λαὸν Ἀχαιῶν·
he-thudded and falling greatly and grieved the-host of-the-Achaeans

ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,
as and when a-boar untiring a-lion overpowers in-fight
ὥ τ' ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον
which — of-a-mountain on-the-peaks greatly proud fight
πίδακος ἀμφ' ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω·
a-spring about small wish and to-drink both
πολλὰ δέ τ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν·
much and — gasping the-lion subdued by-force
ὣς πολέας πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν
so many having-slain of-Menoetius the-valiant son
Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα,
Hector son-of-Priam near with-spear of-life deprived
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα·
and over-him boasting words winged addressed
"Πάτροκλ', ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἁμήν,
Patroclus truly somehow you-thought the-city to-sack our
Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας
the-Trojan and women of-freedom the-day taking-away
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
to-carry in ships dear to native land
νήπιε· τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι
fool them and before of-Hector the-swift horses
ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ' αὐτὸς
with-feet stretch-out to-fight with-spear and myself
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω
among-the-Trojans war-loving am-pre-eminent who for-them ward-off
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.
the-day of-necessity you and — here vultures will-eat
ἆ δειλ', οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς,
ah wretch not-even you brave being availed Achilles

ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ᾽ ἰόντι·
who somehow to-you very much staying charged going
‘μή μοι πρὶν ἰέναι, Πατρόκλεες ἱπποκέλευθε,
not to-me before to-come Patroclus driver-of-horses
νῆας ἔπι γλαφυράς, πρὶν Ἕκτορος ἀνδροφόνοιο
the-ships to hollow before of-Hector man-slaying
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.᾽
the-bloody tunic about breast you-have-torn
ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πείθε.᾽᾽
so somehow you he-addressed you and the-wits senseless persuaded
Τὸν δ᾽ ὀλιγοδρανέων προσέφης, Πατρόκλεες ἱππεῦ·
Him and feebly you-addressed Patroclus horseman
᾽᾽ἤδη νῦν, Ἕκτορ, μεγάλ᾽ εὔχεο· σοὶ γὰρ ἔδωκε
already now Hector greatly boast to-you for gave
νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ με δάμασσαν
victory Zeus son-of-Cronus and Apollo who me subdued
ῥηιδίως· αὐτοὶ γὰρ ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο.
easily themselves for from shoulders the-arms took
τοιοῦτοι δ᾽ εἴ πέρ μοι ἐείκοσιν ἀντεβόλησαν,
such and if indeed me twenty had-met
πάντες κ᾽ αὐτόθ᾽ ὄλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
all — there would-have-perished my under spear subdued
ἀλλά με μοῖρ᾽ ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός,
but me fate deadly and of-Leto killed the-son
ἀνδρῶν δ᾽ Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.
of-men and Euphorbus you and me third slay
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
another and to-you I-will-say you and in mind lay(-it) your

οὔ θην οὐδ' αὐτὸς δηρὸν βέῃ, ἀλλά τοι ἤδη
not truly not-even yourself long will-live but for-you already
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή,
near has-stood death and fate mighty
χερσὶ δαμέντ' Ἀχιλῆος ἀμύμονος Αἰακίδαο."
by-the-hands subdued of-Achilles blameless son-of-Aeacus
855 Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·
So then him having-spoken the-end of-death covered
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἀϊδόσδε βεβήκει,
the-soul and from the-limbs flying to-Hades went
ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
its fate bewailing leaving manhood and youth
τὸν καὶ τεθνηῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
him even dead addressed glorious Hector
"Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
Patroclus why now to-me do-you-prophesy sheer destruction
860 τίς δ' οἶδ' εἴ κ' Ἀχιλεύς, Θέτιδος πάϊς ἠϋκόμοιο,
who and knows if — Achilles of-Thetis son lovely-haired
φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;"
may-be-first my under spear struck away life to-lose
Ὣς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
So then having-spoken the-spear bronze from the-wound
εἴρυσε λὰξ προσβάς, τὸν δ' ὕπτιον ὧσ' ἀπὸ δουρός.
drew with-heel stepping-on him and backward thrust from the-spear
αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
at-once and with the-spear after Automedon he-went
865 ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο·
godlike attendant of-the-swift-footed son-of-Aeacus

ἵετο γὰρ βαλέειν· τὸν δ᾽ ἔκφερον ὠκέες ἵπποι
he-was-eager for to-hit him and carried-off the-swift horses
ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα.
immortal which to-Peleus the-gods gave glorious gifts
